PA
258
.F55

2 - 3 - 10.

Library of Congress.

Chap. PA258
Shelf .F55
Copyright No.

UNITED STATES OF AMERICA.

Deposited in the Clerk's Office 21. April 1831

A

# KEY

TO

# THE EXERCISES

ADAPTED TO

B. F. FISK'S GREEK GRAMMAR.

---

Tantum series juncturaque pollet.

HORAT.

---

LIBRARY OF CONGRESS 1871

BOSTON:

HILLIARD, GRAY, LITTLE, AND WILKINS.

1831.

PA256
.F55

DISTRICT OF MASSACHUSETTS, TO WIT.

District Clerk's Office.

Be it remembered, that on the nineteenth day of March, A. D. 1831, in the fifty-fifth year of the Independence of the United States of America, Benjamin F. Fisk, of the said district, has deposited in this office the title of a book, the right whereof he claims as author, in the words following, *to wit*—:

"Key to the Exercises adapted to Fisk's Greek Grammar. Tantum series juncturaque pollet. Horat."

In conformity to the act of the Congress of the United States, entitled "An act for the encouragement of learning, by securing the copies of maps, charts, and books, to the authors and proprietors of such copies, during the times therein mentioned"; and also to an act, entitled "An act supplementary to an act, entitled, 'An act for the encouragement of learning by securing the copies of maps, charts, and books to the authors and proprietors of such copies, during the times therein mentioned,' and extending the benefits thereof to the arts of designing, engraving, and etching historical and other prints."

JNO. W. DAVIS,
Clerk of the District of Massachusetts.

896

---

## ERRATA.

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Page | 1, | line | 19, | for | πειθεῖ | read | πιθεῖ |
| " | 5, | " | 19, | " | ἐπηνέθη | " | ἐπῄνέθη |
| " | 6, | " | 22, | " | τὴν | " | τὸν |
| " | 12, | " | 16, | " | ἀπεκείρετο | " | ἀπεκείρατο |
| " | 23, | " | 8, | " | ἀπαγγελλεῖν | " | ἀπαγγελεῖν |
| " | 24, | " | 15, | " | ἧν | " | ἧ |
| " | 27, | " | 18, | " | ὑπ' | " | ὑφ' |
| " | 30, | " | 7, | " | καταστρατοπεδεύσατο | " | κατεστρατοπεδεύσατο |
| " | 36, | " | 11, | " | Γράμμματα | " | Γράμματα |
| " | 41, | " | 13, | " | Κτεσιφῶντι | " | Κτησιφῶντι |
| " | 43, | " | 23, | " | χρησίου | " | χρυσίου |

---

CAMBRIDGE: E. W. METCAL
*Printers to the Univer*

LC Control Number
tmp96 031258

# KEY

TO

# FISK'S GREEK EXERCISES.

---

## SECTION I.

1. Pres. *ἔχω, εὕδεις, πίπτει, χαίρετον, χορεύετον, βλέπομεν, νομίζετε, ἐρίζουσι.*

2. Imp. *ἔτυπτον, ἐδίδασκες, ἐπίστευε, ἐλέγετον, ἐκελευέτην, ἐπάσχομεν, ἐμανθάνετε, ἤλπιζον.*

3. 1st F. *πέμψω, λατρεύσεις, φανεῖ, βασιλεύσετον, οἰκίσομεν, ἥξετε, κακώσουσι.*

4. 1st. A. *ἤμειψα, ὠνείδισας, ἔπραξε, ἐσιγησάτην, ὡμολογήσαμεν, ἔμειναν.*

5. Perf. *γέγραφα, ἠδίκηκας, πεπλούτικε, εὑρήκατον, δεδράκαμεν, νενικήκατε.*

6. Plup. *ἐγνώκειν, ἐπεπόμφει, ἐδεδειπνήκειμεν, ἐβεβοηθήκεισαν.*

7. 2d. A. *ἔβαλον, ἔφυγε, ἐλάβετον, ἐλίπομεν, ἔδοτε, ἔθεσαν.*

8. 2d. F. *σπαρῶ, πειθεῖ, πλακεῖτε, κτανοῦσι.*

9. Pres. *παίομαι, πίπλασαι, τέρπεσθον, εἰργόμεθα, κολάζονται.*

10. Imp. *ἐτρεφόμην, ἐβαστάζετο, ἐλειπόμεθα, ἐτιτρώσκοντο.*

11. Perf. *πέπεισμαι, κεκήρυξαι, ἔῤῥιπται, πεπλήγμεθα, τετραμμένοι εἰσί.*

12. Plup. *ἠδίκησο, ἐκεκάλυπτο, ἐστέρηντο.*

13. Pau. *κεκλήσομαι, τεθάψῃ, πεπλήξεται, τετάξομεθα.*

14. 1st. A. *ἐκινήθην, ἐμιάνθη, ἐπέμφθημεν, ἐπληρώθησαν.*

15. 1st. F. *σωθήσῃ, ὑψωθήσεται, θαυμασθησόμεθα, βαπτισθήσεσθε.*

16. 2d. A. *ἐστάλην, ἠγγέλη, ἐβλάβητε, ἐσπάρησαν.*

17. 2d F. *σφαγήσεται, δαρήσεσθε, κρυβήσονται.*

18. Pres. *κομίζομαι, λούεται, φυλάσσεσθε, διδάσκονται.*

19. Imp. *ὡπλίζου, ἤρχετο, ἠπειγόμεθα, ἐτάσσοντο.*

20. Perf. *πέφηνα, λέλοιπε, δεδόρκατε, πεπράγασι.*

21. Plup. *ἠκηκόεις, ἐτετήκει, ἐπεπόνθεισαν.*

22. 1st A. *ἐμισθωσάμην, ἐποιήσω, ἐκαλύψατο, ἐτιναξάσθην, ἐγράψαντο.*

23. 1st. F. *θωρήξομαι, κινήσεται, ἀπαλλάξονται.*

24. 2d A. *εὑρόμην, προσηγάγετο, ἀπεδόμεθα, ἐτράποντο.*

25. 2d F. *πιθοῦμαι, πεσοῦνται.*

26. *Ἰατροὶ τέμνουσι, λέοντε φυλάσσετον, ἵπποι ἔθεον, θεράποντε ἐκομείτην, κήρυκες ἔνειμαν.*

27. *Οἶνος εὑρίσκεται, ἄνδρες κατελείποντο, θώρακες ἐπορίσθησαν.*

28. *Λησταὶ προσέρχονται, πολέμιοι ἐφαίνοντο, Φοίνιξ ἡγησάσθω.*

## SECTION II.

29. *Μακρὰ τείχη.*

30. *Διπλῆ τάφρος.*

31. *Χαλκοῖ τοῖχοι.*

32. *Ποδώκεις κύνες.*

33. *Χρυσοῦς στεφάνους.*

34. *Πύργοι ξύλινοι.*

35. *Ἡδέος ὕδατος.*

36. *Χρυσοκέρωτα ἔλαφον.*

37. *Χαλκόποδε ἵππω.*

38. *Σωφρονεστέρα ἀδελφή.*

39. *Μικροτέροις πλοίοις.*

40. *Ἀθλιωτάτη γυνή.*

41. *Κλεινότατον στέφανον.*

42. *Σοφοὶ ἄνδρες ἐξελέγχουσι.*

43. *Ὠκεῖς ἵπποι ἦλθον.*

44. *Μέλαιναι νῆες εἵποντο.*

45. *Ἓξ εὐκνήμιδες ἑταῖροι ὤλοντο.*

46. *Χωρία ὀρεινὰ καὶ δύσβατα.*

47. *Ἐνταῦθα εὑρίσκονται πολλαὶ κλίναι.*

48. *Πολλὰ ἄλλα ἥμερα ὑψηλὰ δένδρα.*

### a.

49. *Αἰθόμεναι δαΐδες.*

50. *Ἡ δευτέρα σφραγίς.*

51. *Ἥδε ἡ γῆ σέσωσται.*

52. *Τὰ φεύγοντα ἅρματα.*

53. *Τοῦ μεγάλου λιμένος.*

54. *Τοὺς γραφομένους νόμους.*

55. *Πᾶσαι αἱ φυλαὶ κόψονται.*

56. *Ταύτας τὰς ἀγαθὰς ἐλπίδας.*

57. *Οἱ ἐμοὶ οἰκέται εἰργάσαντο.*

58. *Οἱ Ἰνδοὶ εἰσελθόντες ἔλεξαν.*

59. *Οὗτοι οἱ ἱππεῖς ἀποκτείνουσι.*

60. *Αἱ ἡμέτεραι κῶμαι πορθοῦνται.*

61. *Πάντες οἱ παῖδες παιδεύονται.*

62. *Οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι.*

## SECTION III.

63. *Ἀνοίγουσι τὰς πύλας.*

64. *Τηνικαῦτα ἄρδουσι τοὺς κήπους.*

65. *Ἐλθόντες ἔθαπτον τοὺς Καδουσίους.*

66. *Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς;*

67. *Καὶ ἐξαπίνης οἱ στρατιῶται φέρουσι λίθους.*

68. *Ἴσως ἑώρακας τοὺς ἄνδρας μαχομένους.*

69. *Ἐγὼ μισῶ τοὺς Λακεδαιμονίους σφόδρα.*

70. *Τιμῶ τὸν Πατέρα, καὶ ὑμεῖς ἀτιμάζετέ με.*

71. *Καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.*

72. *Οὐκοῦν σμικρὸν ῥῆμα κατασβέννυσι πάσας τὰς τοιαύτας ἡδονάς.*

73. *Οἱ αἰχμάλωτοι καταλαμβάνουσι τὴν ἀκρόπολιν, καὶ ἡ πόλις ἀφίσταται.*

## SECTION IV.

74. *Τινὲς ἐγκωμιάζουσιν αὐτόν.*

75. *Τότε οἱ δίκαιοι ἐκλάμψουσι.*

76. Τὸ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

77. Ὁ πατάξας εἶχε τρεῖς προφάσεις.

78. Ταῦτα τεθέαμαι, καὶ ἐκεῖνα ἀκήκοα.

79. Ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι.

80. Οἱ Ἕλληνες εἶδον τὸ ἱππικὸν ἔτι συνεστηκός.

81. Οἱ βασιλικοὶ νόμοι οὐ μόνον ζημιοῦσι τοὺς ἀδικοῦντας, ἀλλὰ καὶ ὠφελοῦσι τοὺς δικαίους.

82. Τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται.

## SECTION V.

83. Ἄκουε δὴ ὄναρ ἀντὶ ὀνείρατος.

84. Εἵλοντο Λακεδαιμονίους ἀντὶ Μεσσηνίων.

85. Τὸ κρέας ἐσθίουσι, τὸ δὲ λίπος τήκουσι, καὶ ἀντὶ ἐλαίου χρῶνται.

86. Οὗτος ὁ ποταμὸς ῥέει, οὐκ ἀπὸ μεσημβρίας, ἀλλὰ ἀπὸ ἀνίσχοντος ἡλίου.

87. Ἀπὸ τοῦ πρώτου ὕπνου ἐχώρει.

88. Ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν.

89. Ἀπὸ τούτου τοῦ τολμήματος ἐπῃνέθη ἐν Σπάρτῃ.

90. Ἀπὸ τούτων τῶν ἀνθέων ἐστεφάνωσά σε.

91. Ῥίπτει τὸν λίθον ἐκ τῆς χειρός.

92. Πονοῦνται ἐκ νυκτὸς εἰς νύκτα.

93. Ποιοῦσι δὲ καὶ οἶνον ἐκ τοῦ καρποῦ.

94. Ἐξ ἀρίστου προῆγε τὸ στράτευμα.

95. Ἐλειποψύχει ἐκ τοῦ παραδόξου χαρᾶς.

96. Ἐκ πολέμου εἰρήνη βεβαιοῦται.

97. Ναυμαχία γίγνεται πρὸ τοῦ Βυζαντίου.

98. Ἤλθομεν πρὸ μεσημβρίας εἰς Ἄψαρον.

99. Πρὸ ἀρετῆς προτιμᾷ κάλλος.

100. Πρὸ τῆς Σπάρτης ἀποθνήσκει.

101. Ἔστι καὶ ἐν Πόντῳ Εὐξείνῳ χωρίον οὕτω καλούμενον.

102. Πάλιν ἐκεῖθεν διαδρὰς, ἐν Βοιωτοῖς διῃτᾶτο.

103. Ἐν ἅπασιν Ἀθηναίοις ἐξηλέγχθης,

104. Ἐν τῷ λοιμῷ τοὺς παῖδας ἀπέβαλε.

105. Ἀποστέλλειν ὁπλίτας ἐν τῇ Σικελίᾳ.

106. Ἐπαμεινώνδας ἐτρώθη ἐν Μαντινείᾳ.

107. Ἰησοῦς ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον.

108. Ἐπανῆλθεν ἐς τὴν Ῥώμην σὺν τοῖς δορυφόροις.

109. Ἐνικᾶτε σὺν τοῖς θεοῖς.

110. Σὺν τοῖς ἀδικουμένοις ἐσόμεθα.

111. Ἔῤῥιπτον ἑαυτοὺς εἰς τὲν ποταμόν.

112. Ἀπετείχιζε τὴν Χαλκηδόνα ἀπὸ θαλάττης εἰς θάλατταν.

113. Ἀναβαλλώμεθα τὸν γάμον εἰς τὸ μετόπωρον.

114. Ἀπόβλεψον εἰς τὴν ἀκρόπολιν.

115. Στρατεύουσι πάλιν εἰς τὴν Κόρινθον.

116. Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον.

117. Ἐλλόγιμος εἰς τοὺς ἄλλους Ἕλληνας.

118. Σμέρδις ἵζετο εἰς τὴν βασίλειον θρόνον.

119. Ἐκ τῶν Ἀθηνῶν εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακήν.

120. Ἐπαινεῖσθαι εἰς τὸ κάλλος.

## SECTION VI.

121. Ἀπέχωσε τὸν ῥέοντα ποταμὸν διὰ τῆς πόλεως.

122. Ἔπεμπον πρέσβεις διὰ Τισσαφέρνους.

123. Διὰ πάσης ἀκριβείας ἤλεγχε τοὺς λόγους.

124. Ταράσσονται διὰ παντὸς τοῦ βίου.

125. Τοῦτο μαντεύομαι κατ᾽ αὐτοῦ.

126. Οὐδεὶς κατ᾽ ἐμοῦ εἰσάξει δίκην.

127. Νύκτωρ κατὰ κλίνης οὐκ ἐκοιμᾶτο.

128. Αἱ νῆσοι ἠφανίζοντο κατὰ τῆς θαλάσσης.

129. Ἅλλονται κατὰ τῆς πέτρας.

130. Ἡλᾶτο κατὰ τῆς χώρας.

131. Ὤμνυον κατὰ τῶν μύρτων.

132. Ὑπὲρ τῶν κήπων ὄρος κεῖται.

133. Ἐπέτεινε ξύλα ἀσθενῆ ὑπὲρ τῆς τάφρου.

134. Ὑπὲρ τῆς ἐρήμου Θυσσαγέται οἰκοῦσι.

135. Οἱ Θρᾷκες ὑπὲρ τῶν ναυαγίων ἐν σφίσι διαμάχονται.

136. Ἀφηγεῖτο ὑπὲρ Ὁμήρου πᾶσαν τὴν ἀλήθειαν.

137. Διὰ σὲ ἦλθον, διὰ σὲ ἀπολλύω τοὺς ἀθλίους κοψίχους.

138. Δι᾽ ἡμᾶς ἔχετε τήνδε τὴν χώραν.

139. Διὰ τοὺς εὖ μαχομένους αἱ μάχαι κρίνονται.

140. Θηραμένης οὑτοσὶ κατακέκριται κατὰ τὸν νόμον.

141. Αἴγυπτος ἀφειστήκει κατ᾽ ἐκεῖνον τὸν χρόνον.

142. Ἐθαυμάζεσθε κατὰ τὴν Ἑλλάδα.

143. Ἔνεμε κτήνη κατὰ ταῦτα τὰ χωρία.

144. Ἐνέβαλε διὰ τῆς Ἀχαΐας ἐς τὴν Ἠλείαν κατὰ Λάρισσαν.

145. Κεῖται δὲ Κεφαλληνία κατὰ Ἀκαρνανίαν.

146. Ἀναδραμόντες κατὰ τὴν Ἀκροκόρινθον, Ἀργείους ἀπεκρούσαντο.

147. Οἱ δὲ ἄλλοι ἡνίοχοι ἐξέκλιναν κατὰ τὰ φεύγοντα ἅρματα.

148. Ἀπέκτειναν ὑπὲρ χιλίους, καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν.

149. Ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθεν ἀκωκή.

150. Ἡ φήμη διέδραμε ἀνὰ τὰ λοιπὰ στρατόπεδα.

151. Ἀδίκως εὐτυχεῖτε ἀνὰ Ἑλλάδα.

152. Πολλὰ δ' ἤγειρα χρήματα ἀνὰ Αἰγυπτίους ἄνδρας.

## SECTION VII.

153. Πάντα οἶσθα ἀμφὶ ἐμῶν γάμων.

154. Οἱ δὲ Καρδοῦχοι πυρὰ ἔκαιον ἐπὶ τῶν ὀρέων.

155. Καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων.

156. Ἐπεραιώθη τότε εὐθὺς ἐπὶ πλοίου ἐκ τῆς Θυρέας ἐς Κυλλήνην.

157. Μύρεσθαι ἐπὶ ψυχροῦ Ἀχέροντος.

158. Κατηγόρησεν ἐπὶ τοῦ βασιλέως.

159. Καὶ αὐτοὶ ἐσβάντες ἔπλεον ἐπὶ Χίου.

160. Καὶ οἱ πεζοὶ ἔχουσι σαγάρεις, ὥσπερ ἐπὶ Κύρου.

161. Οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν.

162. Οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτούς.

163. Παρελάβομεν τὴν ἡγεμονίαν τήνδε παρὰ Μήδων.

164. Τοῦτο καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμολογεῖται.

165. Περὶ τοῦ ἐμοῦ βαδίσματος ἐρῶ μετὰ παῤῥησίας.

166. Ἔρχονται ἐκ Σινώπης πρέσβεις, φοβούμενοι περὶ τῆς πόλεως καὶ περὶ τῆς χώρας.

167. Πάτροκλον ἐγὼ περὶ πάντων ἔτιον ἑταίρων.

168. Πρὸς τοῦ φέροντος τοιάδε ἤκουε κακά.

169. Ἄγονται πρὸς Ἐριννύων διὰ Ταρτάρου.

170. Πρὸς τῶν θεῶν, ἔφην ἐγὼ, ποῦ διατρίβεις, καὶ τί ποιεῖς;

171. Σπονδὰς ἐποιήσατο πρὸς Θηβαίων μᾶλλον, ἢ πρὸς ἑαυτῶν.

172. Πρὸς τοῦ σημείου οἱ ἀκονтισταὶ τετάχθωσαν.

173. Ἐπὶ Ψαμμητίχου φυλακαὶ κατέστησαν πρὸς Αἰθιόπων.

174. Θοῶς συνηγέρθησαν ὑπὸ σκιερᾶς πλατανίστου.

175. Νῦν δὲ ἐρωτώμενος ὑπὸ σοῦ ἐρυθριᾷ.

176. Οἱ ἄλλοι ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων.

177. Μέλπετε τὸν Διόνυσον βαρυβρόμων ὑπὸ τυμπάνων.

178. Ὅρμοι δ᾽ ἀμφ᾽ ἁπαλῇ δειρῇ περικαλλεῖς ἦσαν.

179. Οἱ μνηστῆρες εἶχον ἔριν ἀμφὶ μουσικῇ.

180. Τοιᾷδε ἀμφὶ γυναικὶ ἄλγη πάσχειν.

181. Ἐπὶ θινὶ ἔκειτο βαρυστενάχων πολλοῖς μετὰ Μυρμιδόσι.

182. Τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι.

183. Οὗτοι δὲ οἱ Φοίνικες τοπαλαιὸν ᾤκησαν ἐπὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ.

184. Αἶψα ἐπὶ Τυδείδῃ ἐτιταίνετο καμπύλα τόξα.

185. Αἱ δὲ γυναῖκες ἦλθον ἀπὸ κρήνης· ἐπὶ δέ σφισιν ἦλθε συβώτης.

186. Εὐδοκιμεῖ ἐπὶ σοφίᾳ ἐν πᾶσι τοῖς Ἕλλησι.

187. Ἐπὶ τοῖς λέγουσι τὸ βουλευτήριον ἔσται.

188. Μετὰ πρώτοις ἵσταμαι ἀνὰ μάχην.

189. Νῦν δὲ μεθ᾽ ὑμετέρᾳ ἀγορᾷ ἧμαι, λισσόμενος.

190. Δόρπον ἔπειθ᾽ εἵλοντο θοῇ παρὰ νηῒ μελαίνῃ.

191. Ἐνταῦθα δὲ ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ βασιλεῖ.

192. Εἶχον περὶ τοῖς σώμασιν ἐσθῆτας λιτάς.

193. Οἱ Κορίνθιοι, δεδιότες περὶ τῷ χωρίῳ, πέμπουσιν ὁπλίτας.

194. Κτείνειν Ἀργείους παρὰ ναυσὶν, ἀτυζομένους περὶ καπνῷ.

195. Ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθῳ ἐν τῷ ἰσθμῷ.

196. Οὔποτε ἀσπίδα ἔσχε πρὸς λαιᾷ χειρί.

197. Πρὸς τῇ φυσιολογίᾳ, καὶ τὴν ἠθικὴν φιλοσοφίαν ἀσκοῦσι.

198. Εὗρον ἀένναον κρήνην ὑπὸ πέτρᾳ.

199. Δύο φῶτες ὀδὰξ εἷλον οὖδας, ἐμῷ ὑπὸ δουρὶ δαμέντες.

200. Περὶ τοῖς βωμοῖς ἐχόρευεν ὑπὸ αὐλοῖς.

201. Ἀμφὶ δέ σε ἄλλοι ἐκτείνοντο, μαρνάμενοι περὶ σοῦ.

202. Οἱ Καδούσιοι ἐσώζοντο πρὸς τὸ στρατόπεδον ἀμφὶ δείλην.

203. Ἑρμιόνη, ἐλθοῦσα ἀμφὶ τὸν τάφον, καὶ στᾶσα ἐπὶ χώματος, λέξον τάδε.

204. Ἀνεβίβασεν ἐπὶ τὴν πυρὰν τὸν Κροῖσον, ἐν πέδαις δεδεμένον.

205. Καὶ ἐπὶ τὸ ξενικὸν καθίστησιν Ἀδέαν.

206. Ἐκάλεσε ταύτην τὴν τάξιν ἐπὶ τὸ δεῖπνον σὺν τῷ ταξιάρχῳ.

207. Ὁ ποταμὸς ῥέει ἐπὶ δύσιν διὰ τῆς μεγάλης Ἀρμενίας.

208. Ἤλαυνεν ἐπὶ τοὺς Αἰγυπτίους· εἶχε δὲ περὶ ἑαυτὸν ἄνδρας τρισμυρίους.

209. Ἐπολιόρκουν τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα.

210. Πεπόμφασι δὲ καὶ ἐς Πελοπόννησον πρέσβεις ἐπ' ἄλλην στρατιάν.

211. Ἀπῆλθον ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν.

212. Σφαῖραν ἔῤῥιψε μετὰ ἀμφίπολον βασίλεια.

213. Ἡ θεὸς κύμβαλον μετὰ χεῖρας ἔχει.

214. Ἦλθον ἐπὶ τὴν οἰκίαν μεθ' ἡμέραν μετὰ τοῦ μειρακίου.

215. Σπείσας δὲ, εὐθὺς ἦγε τοὺς νεανίσκους παρὰ τὸν Χειρίσοφον· καὶ διηγοῦνται ταῦτα.

216. Εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην.

217. Σχεδὸν παρὰ πάντα τὸν ἐνιαυτὸν ἑορτάζουσι.

218. Οὐ μόνον παρὰ τὰ ψηφίσματα διέβαλλεν ἡμᾶς, ἀλλὰ καὶ παρὰ τοὺς νόμους.

219. Καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου παρὰ τὴν πενίαν.

220. Καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας.

221. Μείνας ἐκεῖ περὶ ἑκκαίδεκα ἡμέρας, ἀπεχώρησε πάλιν εἰς Θεσπιάς.

222. Ἠσκήκασιν εὐσέβειαν περὶ τοὺς θεούς.

223. Σπεισάμενος πρὸς τοὺς βάρβαρους, πρὸς τὴν μητέρα ἠπείγετο.

224. Διαβάντες, ὡδοιπόρουν πρὸς ἥλιον ἀνίσχοντα.

225. Ἀνδρείαν ἐν ταῖς μάχαις πρὸς τοὺς πολεμίους ἐπεδέδεικτο.

226. Πρὸς τὰς ἐπιστολὰς ὑπώπτευον αὐτόν.

227. Οἱ στρατιῶται παρεσκευάζοντο πρὸς τὴν ἔξοδον.

228. Οὗτοι οἱ μύρμηκες ποιοῦνται οἴκησιν ὑπὸ γῆν.

229. Ὑπὸ τοῦτον τὸν χρόνον ἡ δημοκρατία κατελύετο.

*a.*

230. Ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστάσεως.

231. Αὐτὸς μετὰ τῶν δέκα ἀνδρῶν τὸν πλοῦν ὡς τὸν Τισσαφέρνην ποιεῖται.

*b.*

232. Ἀγάμεμνον, ἱκετεύω σε (πρὸς) τῶνδε γουνάτων.

233. Νῦν οὖν (διὰ) τί οὔτε τὸν δασμὸν ἀπήγαγες;

234. Τὰς πόλεις ἐνεπίμπρασαν (σὺν) αὐτοῖς τοῖς ἱεροῖς.

235. Καὶ ἔπλευσαν εὐθὺς (σὺν) πέντε καὶ εἴκοσι ναυσὶ, καὶ ὕστερον (σὺν) ἑτέρῳ στόλῳ.

236. Ἐν τούτῳ οἱ Ἀθηναῖοι κατασχόντες, καὶ χωρήσαντες εὐθὺς (σὺν) πάσῃ τῇ στρατιᾷ, αἱροῦσι τὴν Θυρέαν.

## SECTION VIII.

237. Ὑμεῖς δὲ θρηνεῖτε ἐγγὺς ἑστῶτες τάφου.

238. Οἱ Πέρσαι ἵζοντο πέλας τῶν Αἰγυπτίων.

239. Ἔνθα δ᾿ ἐπ᾿ ἐσχατιᾷ σπέος εἴδομεν ἄγχι θαλάσσης.

240. Ἐσχέουσι δὲ τὴν πίσσαν ἐς λάκκον ὀρωρυγμένην ἀγχοῦ τῆς λίμνης.

241. Ὁ Στρυμὼν ἐστιν οὐ πρόσω τοῦ Ἑλλησπόντου.

242. Ἔθανες ἐν Τροίᾳ ἑκὰς Ἄργεος, ἀμφὶ δέ σε ἄλλοι ἐκτείνοντο.

243. Ὤλετο τηλόθι πάτρας, ἀλλογνώτῳ ἐνὶ δήμῳ.

244. Στὰς ἀπάνευθε πυρᾶς, ξανθὴν ἀπεκείρετο χαίτην.

245. Ζάκυνθος κεῖται ἀντιπέρας Ἤλιδος.

246. Ἐκεῖθεν ἀνήχθη εὐθὺ Γυθείου.

247. Ἰθὺς τάφρου βαθείας ἔωσαν Ἀχαιούς.

248. Ἀλέξανδρος ὁρμηθεὶς ἀπὸ τῶν μερῶν τούτων ἄχρι τοῦ Γάγγους διῆλθε.

249. Ὁρῶσιν ἱππέας πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους, πεζοὺς δ᾿ ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἀνὼ τῶν ἱππέων.

250. Δεσμεύειν τὸν ἵππον ἄνωθεν τῆς κεφαλῆς.

251. Εἶδόν σε ὑποκάτω τῆς συκῆς.

252. Ἔντοσθεν δ᾿ αὐλῆς συφεοὺς δυοκαίδεκα ἐποίει πλησίον ἀλλήλων.

253. Ἔστη δ᾿ ἐκτὸς κλισίας, τάχα δ᾿ εἴσιδε ἔργον ἀεικές.

254. Εἴσω τοῦ τείχους ἀπῄει σὺν Κλεάνδρῳ.

255. Εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

256. Ἐφοίτα ἄλλοτε μὲν πρόσθεν Ἕκτορος, ἄλλοτε ὄπισθεν.

257. Ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης γυναῖκας πρὸς τῇ κρήνῃ καταλαμβάνει ἔμπροσθεν τοῦ ἐρύματος.

258. Ὄπισθεν τοῦ πεζοῦ ἐπέταξε τὴν πᾶσαν ἵππον.

259. Ἀμφοτέρωθεν τῆς ὁδοῦ οἱ Λακεδαιμόνιοι ἔστησαν.

260. Μεσοποταμία κεῖται μεταξὺ τοῦ Εὐφράτου καὶ τοῦ Τίγριος.

261. Προσέθηκε δὲ καὶ δρέπανα σιδήρεα ὡς διπήχεα πρὸς τοὺς ἄξονας ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν.

262. Ἐντὸς τριῶν μηνῶν ἅπασαν κατέσχε Μακεδονίαν.

263. Ἐκάθευδον μέχρι πόῤῥω τῆς ἡμέρας.

264. Ἠκροβολίζοντο πολλάκις μέχρις ἑσπέρας.

265. Τούτο τὸ δεῖπνον παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ.

266. Τρὶς τῆς ἡμέρας ἀνακυκλῶ πρὸς ἐμαυτὸν τὰ εἰρημένα.

267. Εἵποντο, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν, ἀλλ' ἁρπαγῆς ἕνεκεν.

268. Τοῦ θεοῦ ἕκατί σε ἔθρεψα.

269. Καὶ νῦν πημάτων ἅδην ἔχω.

270. Ἔπεμψέ με λάθρα τῶν ἄλλων Ἑλλήνων.

271. Πόνου χωρὶς, οὐδὲν εὐτυχεῖ.

272. Ἐγὼ γυναῖκας δεῦρο ὅπλων ἄξω δίχα.

273. Ἄνευ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὶς κινδύνους ἰσχύει.

274. Ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου.

275. Ἀπέκτειναν ἅπαντας, ἐκτὸς ὀλίγων.

276. Χωρὶς δὲ τούτων, φύλακας ἐν ταῖς ἀκροπόλεσι τρέφει.

277. Τούτους τοὺς στρατηγοὺς ἔπαυσαν, πλὴν Κόνωνος.

278. Ὦ τῆς ὕβρεως! οὐ παύσῃ γελῶν.

279. Φεῦ τῆς ῥοδωνιᾶς! φεῦ τῆς ἰωνιᾶς! φεῦ τῶν ὑακίνθων!

280. Μυρίους ἀπώλεσας μιᾶς γυναικὸς χάριν.

281. Ἀνηγορεύοντο ἐνώπιον ἁπάντων τῶν Ἑλλήνων.

## a.

282. Οἲ ἐγώ· τί λέξεις, μῆτερ;

283. Οἴ μοι, γελῶμαι, κερτομεῖτέ με ἐν κακοῖς.

284. Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων.

285. Ὦ Σώκρατες, ἔφη, ποῖ δὴ πορεύῃ, καὶ πόθεν;

## b.

286. Μακαρίζω ὑμᾶς τοῦ κτήματος.

287. Ὦ θύγατερ, αἰνῶ σε τῆς προθυμίας.

288. Ἐγὼ Κλεῖτον μὲν τῆς ὕβρεως μεγαλωστὶ μέμφομαι, Ἀλέξανδρον δὲ τῆς συμφορᾶς οἰκτείρω.

289. Αἲ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ.

## c.

290. Ἔπλεον ἅμα Ἱστιαίῳ ἐς Βυζάντιον.

291. Ἅμα ἡλίῳ ἀνατέλλοντι κήρυκας ἔπεμψε περὶ σπονδῶν.

292. Ἀπέστειλαν δὲ καὶ διακοσίους ὁπλίτας ὁμοῦ τοῖς Κορινθίοις.

### *d.*

293. Μελαγχολᾷς, ὦ ἄνθρωπε, νὴ τὸν οὐρανόν.

294. Ἀλλὰ μὰ τοὺς θεοὺς οὐκ ἔγωγε αὐτοὺς διώξω.

295. Ναὶ μὰ Δί', ἔφη, ὦ πάτερ, μέμνημαι.

## SECTION IX.

### *a.*

296. Ἕως οὖν ἔστε ἐν ἀσφαλεῖ, φυλάξασθε.

297. Δαίνυται ὄφρα ἐθέλῃ.

298. Ἔπειτα προὐχώρουν διὰ Κεκροπίας, ἕως ἀφίκοντο ἐς Ἀχαρνάς.

299. Ἀλλ' ἐγὼ οὐκ ἐπιθόμην ὄφρ' αὐτὸν ἴδοιμι.

300. Περιμένετε ἕως τὸν ὄχλον διωσώμεθα, ἔπειτα δὲ καθ' ἡσυχίαν συγγενησόμεθα.

### *b.*

301. Ἄχρις ἔζη Πτερέλαος, οὐκ ἐδύνατο.

302. Ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἔστε διεπράξατο.

303. Φαρνάβαζος περιέμενεν ἐν Χαλκηδόνι, μέχρις ἔλθῃ ἐκ τοῦ Βυζαντίου.

### *c.*

304. Χρυσὸν ἀποδώσομεν, εἰσόκε σὸν κῆρ ἰανθῇ.

### *d.*

305. Ὅμως δὲ οὐκ ἀπέστην, πρὶν τὸν λόγον ἀπετέλεσα.

306. Οὐ βούλονταί πω, πρίν τι λάβωσι.

*e.*

307. Ἔχαιρεν ὅτε ἔβλεπε γείτονας ὅρμους.

308. Νῦν δὲ διὰ τὴν ὑμετέραν εὐήθειαν, εὐθύνας δίδωσιν ὁπηνίκα βούλεται.

309. Ἑταῖροι ἐθάμβουν, εὖτε ἐνόησαν.

310. Ἐπειδὴ δὲ εἰσήλθομεν, κατελάβομεν Πρωταγόραν ἐν τῷ προστῴῳ περιπατοῦντα.

311. Καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλε.

312. Προέτρεχεν ἀπὸ τοῦ δένδρου· ἐπεὶ δὲ οἱ λίθοι φέροιντο, ἀνεχάζετο εὐπετῶς.

313. Ἡνίκα δ' ἐξέλθωσιν, ἐς λίμνην αὐτοὺς σὺν ἔντεσι βάλωμεν.

*f.*

314. Ὑπερχαίρω ὅταν ἔχθρον τιμωρῶμαι.

315. Ἐπὰν οἱ βάρβαροι ἀφιῶσι τὰ τοξεύματα, τὸν ἥλιον ἀποκρύπτουσι.

316. Ἐπειδὰν δὲ κατακόψειαν οὕτως ἑαυτοὺς, ἐκ τῶν περιεστηκότων θεατῶν συνέλεγον ὀβολούς.

317. Πολλοὺς ἀκαχήσεις μηλοβοτῆρας, ὁπόταν ἀντήσεις.

*g.*

318. Ὡς προσήλασαν πρὸς τοὺς Ἕλληνας, προσέβαλλον κατὰ τέλη.

319. Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

320. Ὅπως Μίνως δέοιτο, ἐπλήρουν τὰς ναῦς.

321. Ταῦτα ἐποίησαν ὡς ἐκέλευσε.

322. Ἐπεί με ἔρως ἔτρωσεν, ἐσκόπουν ὅπως ἐνέγκαιμι αὐτόν.

323. Τότε βουλευσόμεθα περὶ τῶν τέκνων, ὅπως παιδεύωμεν αὐτά.

### *h.*

324. *Ἅμα γὰρ πλουτοῦσι καὶ ὑμᾶς μισοῦσι.*

### *i.*

325. *Ἐπύθετο ἵνα ἦσαν οἱ Δήλιοι.*
326. *Οἰκοδομοῦσιν οἰκία ἵνα αὐτὸς ἔφρασε τῆς χώρας.*

### *k.*

327. *Μὴ τοῦτο Θεὸς τελέσειε.*
328. *Μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν.*
329. *Μὴ καταπλαγῆτε ὑπὸ τῆς κραυγῆς.*

### *l.*

330. *Ὡς ὄλοιτο παγκάκως.*
331. *Αἴθε τελευτήσειεν ἅπαντα Ἀλκίνοος.*
332. *Αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων.*
333. *Αἴθε σε πόντος, ξένε, διέῤῥαισε.*
334. *Εἴθε εὕρομέν σε, Ἄδμητε, μὴ λυποίμενον.*

### *m.*

335. *Εἰ γὰρ ὤφελον τριώβολον λαβεῖν.*
336. *Εἴθε ὤφελες ἐν θεοῖς λιπεῖν βίον.*
337. *Ἦλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθι ὀλέσθαι.*
338. *Ὤφελεν ἐλθεῖν εἰς ἄβυσσα χάσματα.*
339. *Ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.*

## SECTION X.

340. *ᾜδον καὶ ἐχόρευον.*
341. *Τλῆτε, φίλοι, καὶ μείνατε ἐπὶ χρόνον.*

342. Ἔσφαξε τὰ τέκνα καὶ τὴν γυναῖκα καὶ τὰς παλλακὰς καὶ τοὺς οἰκέτας.

343. Ξενοφῶν ἦλθε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις.

344. Νικίας ἢ Λάχης εὕρηκεν ἢ μεμάθηκε.

345. Ἐν τῇ ἀναστάσει, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται.

346. Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα.

*a.*

347. Ἡ πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε.

348. Οὐδὲν ἄλλο εὗρον ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ.

349. Πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτὰς, πλὴν οἱ τύραννοι.

350. Τοῦτον ὡς εὐεργέτην καὶ φίλον, οὐχ ὡς δοῦλον περιέψομεν.

351. Ὁρῶ δὲ Ῥῆσον ὥστε δαίμονα ἑστῶτα ἐν τοῖς ἵπποις.

352. Προαιροῦνται μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον, ἢ πλοῦτον μέγαν μετὰ ἀδικίας.

## SECTION XI.

353. Οἱ δὲ Ἀθηναῖοι, ἵνα μὴ διασπασθείησαν, ἐπηκολούθουν.

354. Καθεῖλκον τὰς τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σώζοιντο.

355. Τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν.

356. Ὡς δὲ ἔτι μᾶλλον θαῤῥῇς, καὶ τόδε κατανόησον.

357. Καλῶς λέγεις· φύλαττε γάρ με, μή πη παρακρούσωμαί σε.

358. Μάστιγα καὶ ἡνία σιγαλόεντα δέξαι, ἐγὼ δ᾿ ἀποβήσομαι, ὄφρα μάχωμαι.

359. Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας, ἵνα ἀνατείλῃ, οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους, ἵν' εὖ ποιήσῃς.

*a.*

360. Δύναμιν δ' ἔχει τοσαύτην, ὥς, ὑπὸ Φαρναβάζου ἀδικηθεὶς, τιμωρεῖται αὐτόν.

361. Συνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδόν.

*b.*

362. Λέγουσιν ὡς σὺ μέγαν πλοῦτον ἐκτήσω σὺν αἰχμῇ.

363. Πυνθάνεται ὡς ἡ βασιλεία περιεληλύθοι ἐς τοῦτον τὸν ἄνδρα.

364. Ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως κατέχει.

365. Ἤκουσα ὅτι Περικλῆς πολλὰς ἐπίσταιτο ἐπῳδάς.

366. Ἐμέ τινες εἰς δίκας ἄγουσιν, οὐχ ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ.

367. Ἠγανάκτουν, ὅτι ἔχοιεν ἐκ συγκλήτου βασιλέας.

*c.*

368. Ἀλλ' ἴθι νῦν, Αἴαντα ἀνάστησον, εἴ με ἐλεαίρεις.

369. Προύπεμψε λογάδας, ὡς, εἰ ἐπίοιεν, ἀποκλείσαιεν αὐτούς.

*d.*

370. Ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα.

371. Ἔνθα κε δὴ δύστηνος ὑπὲρ μόρον ὤλετο Ὀδυσσεὺς, εἰ μὴ ἐπιφροσύνην ἔδωκε γλαυκῶπις Ἀθήνη.

372. Ὅπως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίαν, ἀπελαύνετο ἂν καὶ ἀπὸ ταύτης.

373. *Νῆες ὡρμίζοντο ἂν πρὸς τῇ πέτρᾳ, οὐ πόῤῥω ἀπὸ τῶν ἐκβολῶν.*

374. *Οὐκ ἂν Μήδοκός με ἐπαινοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐεργέτας.*

375. *Ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι, ἢ εἴποι.*

376. *Ἀκούοιτε ἂν ἤδη περὶ τῆς πολιτείας.*

377. *Πῶς δ᾽ ἠτίμασεν, ἐγὼ φράζοιμ᾽ ἄν.*

378. *Εἰσόψεται, καὶ οὐκ ἂν αἰνέσῃ.*

379. *Φράζου νῦν, ὅπως κε πόλιν σαώσῃς.*

380. *Ἀλλ᾽ ἴωμεν ἕως ἔτι οἰόμεθα εὐπετῶς κρατῆσαι ἄν.*

381. *Ὡμολογήσαμεν εὐδαιμονεῖν ἂν καὶ εὖ πράττειν.*

382. *Οἱ ἡδέως μὲν ἂν ἐλεγχθέντες, εἴ τι μὴ ἀληθὲς λέγοιεν· ἡδέως δ᾽ ἂν ἐλέγξαντες, εἴ τίς τι μὴ ἀληθὲς λέγοι.*

383. *Ἐρεῖ ἃ ἂν σὺ ἐπιστείλῃς.*

384. *Ὅ τι ἂν ἄλλο μανθάνοι, ῥᾷον μαθήσεται.*

385. *Ἐκεῖ ἐστιν ἡ Ῥώμη, ὅπου ἂν ὁ βασιλεὺς ᾖ.*

386. *Ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται.*

387. *Ὅπου ἂν εἰσεπορεύετο, εἰς κώμας, ἢ πόλεις, ἢ ἀγρούς.*

## e.

388. *Ποιήσω ταῦτα, καὶ ἥξω παρὰ σὲ αὔριον, ἐὰν θεὸς ἐθέλῃ.*

389. *Γενναίως μάχονται· ἢν δὲ ἀποβῶσιν, ἢ κατενεχθῶσι, ῥᾳδίως ἁλίσκονται.*

390. *Ἂν δὲ μὴ πείθωνταί τινες, ἐπὶ τούτους ἡμᾶς ἄγετε, ὅπως ἡμεῖς, μὴ ἐκεῖνοι ἄρχωσι.*

391. *Εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ, αὐτὸς ἔπειθ᾽ Ἑλένην ἐχέτω.*

*f.*

392. Ἐπεὶ προθυμεῖσθε, οὐκ ἐναντιώσομαι.

393. Μεταχώρησον, ἔφη, ἐπειδὴ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι.

394. Ἐπείπερ βούλεσθε, περιμένετε ἔστ᾽ ἂν ἐγὼ ἔλθω· ἥξω δὲ ταχέως.

## SECTION XII.

395. Ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ.

396. Ἐμβάλλειν οὐκ ἐτόλμησεν, οὐδ᾽ ἐβούλετο διακινδυνεύειν.

397. Μὴ ὄκνει, ἔφη, ἀλλ᾽ ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν.

398. Οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν.

399. Ἢν τάλαντά τις λάβῃ τρισκαίδεκα, πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα.

400. Οὐκ ἐδύναντο σχεῖν τὸ ῥεῦμα, πρὶν ἐλειποψύχησε· τότε μέντοι γε ἐπαύσατο.

401. Ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι, ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς.

402. Καὶ ἐγὼ δή, εἰ ἐν τῷ σῷ οἴκῳ ἐπιχειρήσαιμι μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην ἂν τὸν οἶκον.

403. Ὀρθῶς ἄρα ἔλεξε, γιγνώσκων ὅτι αὐτὸς ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς· ἐξήνεγκε γὰρ τὸν λόγον ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην ἤδη.

404. Καὶ παραπλέοντες ἐθεώρουν τὴν ἀκτήν, ἔνθα η Ἀργὼ λέγεται ὁρμίσασθαι.

*a.*

405. Πελοποννήσιοι μέλλουσιν εἰσβάλλειν εἰς τὴν Ἀττικήν.

406. Μέλλω ἐλαύνειν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα.

407. Εἰ μὲν οὖν ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι, σφόδρα ἂν ἐφοβούμην τὸν κίνδυνον.

408. Ἔπεμψεν αὐτοὺς ἀπ᾽ Ἐφέσου διὰ τῶν Ἑλληνίδων πόλεων, ἡδόμενος ὅτι ἔμελλον ὄψεσθαι τὰς Ἑλληνίδας πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας.

409. Εἰ καὶ ἔμελλον ὑπὲρ αὐτοῦ παρατάξασθαι, ἐν ἀνδρείᾳ προύχετε.

## SECTION XIII.

410. Ἐκ τούτων τῶν λίθων ἔφασαν τὴν πυραμίδα οἰκοδομηθῆναι.

411. Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς αὐτούς.

412. Ἐκφέρει λόγον ὅτι Ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιάν.

413. Ἀλλ᾽ οἶμαι ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι, καὶ οὔπω δεδυκέναι.

414. Ἐπεὶ ἐπύθοντο Σάρδεις τε καὶ Κροῖσον ἡλωκέναι, ἀπέδοντο τὸν κρατῆρα ἐν Σάμῳ.

415. Ἀρτάβανος ἔχρηζε μηδαμῶς αὐτὸν στρατείαν ἐπὶ Σκύθας ποιεῖσθαι.

416. Ἕωθεν ἀνίσταται, καὶ κελεύει λαμπρὰν ἑστίασιν παρασκευασθῆναι.

417. Ἤκουσε Νικόλοχον σὺν ταῖς ναῦσι πολιορκεῖσθαι ἐν Ἀβύδῳ ὑπὸ Ἰφικράτους καὶ Διοτίμου.

418. Ἐπεὶ δὲ οὐ συνεχώρουν Μεσσήνην ὑπὸ Λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων.

419. Ἐπιθυμοῦσι Πέρσαι τὴν ἀρχὴν καὶ τὴν κάρπωσιν γενέσθαι ἐφ᾽ ἑαυτοῖς.

420. Ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου.

### a.

421. Οἱ δὲ Θηβαῖοι παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν.

422. Ἔφη δὲ ὁ Θέρσανδρος κληθῆναι καὶ αὐτὸς ὑπὸ Ἀτταγίνου ἐπὶ τὸ δεῖπνον τοῦτο.

423. Πολλάκις γὰρ ἔφη νύκτωρ αὐτὸς, καὶ σὺν ὀλίγοις πορευόμενος, ἀποσπασθῆναι σὺν τοῖς ἵπποις ἀπὸ τῶν πεζῶν.

424. Οἱ μὲν ἄλλοι ἔφασαν βουλευσάμενοι ἀπαγγελλεῖν· Ξενοφῶν δὲ εἶπεν ὅτι ἀπαλλάξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς καὶ βούλοιτο ἀποπλεῖν.

### b.

425. Κλάει καὶ φησὶ πένεσθαι.

426. Ὅτε ἐγὼ ἔφην πλουτεῖν, ἐγέλασας ἐπ᾽ ἐμοί.

427. Οἶμαι ἂν σὺν τοῖς θεοῖς ῥᾳδίως ἀπολαβεῖν τὴν ἀρχήν.

428. Ὑμᾶς δὲ καὶ μισεῖ, καὶ ἀδικεῖσθαι νομίζει ὑφ᾽ ὑμῶν.

429. Ἐγὼ, ὦ ἄνδρες, ὁμολογῶ παῖσαι δὴ ἄνδρας πολλοὺς ἕνεκα ἀταξίας.

## SECTION XIV.

430. Ὁ Ἄθως ἐστὶν ὄρος μέγα τε καὶ ὀνομαστὸν, ἐς θάλασσαν καθῆκον, ᾠκημένον ὑπὸ ἀνθρώπων.

431. Ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν Ἀρχίδαμον, καὶ ἐδεῖτο αὐτὸν σωτῆρα γενέσθαι.

432. Οἱ δὲ Καππαδόκαι ὑπὸ Ἑλλήνων Σύριοι ὀνομάζονται.

433. Μετὰ ταῦτα Θηραμένης ᾑρέθη πρεσβευτὴς ἐς Λακεδαίμονα αὐτοκράτωρ.

434. Ὁ Γέλων μετ᾽ οὐ πολὺν χρόνον δι᾽ ἀρετὴν ἀπεδείχθη εἶναι ἵππαρχος.

435. Φιλῶ λέγειν τἀληθὲς ἀεὶ, καὶ οὐ διπλοῦς πέφυκα ἀνήρ.

436. Εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον, ταχὺ δὲ ὁ Ἰάσων ὁμολογουμένως ταγὸς καθειστήκει.

437. Κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν ἔζησα Φαρισαῖος.

438. Ἐνόμιζε δι᾽ ἐκείνην τὰς αἶγας φαίνεσθαι καλάς.

439. Ἐγὼ οὕτως ἐπιθυμῶ ἱππεύειν μαθεῖν, ὡς νομίζω, ἐὰν ἱππεὺς γένωμαι, ἄνθρωπος πτηνὸς ἔσεσθαι.

440. Τοῦτο παραλαμβάνειν παρὰ τῶν φασκόντων ἐραστῶν εἶναι.

441. Ἀφικόμενος ἐς τὸ ἄστυ, ἅμα τοῖς βουλομένοις εἶναι ἐλευθέροις ἐπολιόρκησε τοὺς τυράννους.

## SECTION XV.

442. Καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλόν.

443. Φθονεῖσθαι κρεῖσσόν ἐστιν ἢν οἰκτείρεσθαι.

444. Τοὺς χρηστοὺς εὖ πράττειν ἐστὶ δίκαιον.

445. Τοὺς ἄλλους ὀνομαστὶ διελθεῖν πολὺ ἂν ἔργον εἴη.

446. Ἐπεὶ δ᾽ ἤκουσαν τὸ γεγενημένον, ὅτι σφόδρα ἠνιάθησαν δῆλον ἐγένετο.

447. Παρὰ τοῖς Λυδοῖς, σχεδὸν δὲ καὶ παρὰ τοῖς ἄλλοις βαρβάροις, καὶ ἄνδρα ὀφθῆναι γυμνὸν ἐς αἰσχύνην μεγάλην φέρει.

448. Εἰ μή τις προκαταλήψεται τὸν Κιθαιρῶνα, οὐ ῥᾴδιον ἔσται εἰς τὰς Θήβας ἐμβαλεῖν.

449. Ἔδοξε δὲ ἀναβαλέσθαι ἐς ἑτέραν ἐκκλησίαν.

450. Ἐπὶ τοῦ χρυσοῦ βωμοῦ οὐκ ἔξεστι θύειν.

451. Οὐ γὰρ ἔτι ἐνεχώρει μένειν, διὰ τὸ πλῆθος.

452. Ἔξεστιν ἀποπλεῖν ἐκ τοῦ λιμένος τούτου, ὅποι ἄν τις βούληται.

453. Ἔδοξε τούς τε λιμένας ἀποχῶσαι, πλὴν ἑνὸς, καὶ τὰ τείχη εὐτρεπίζειν, καὶ φυλακὰς ἐφιστάναι.

a.

454. Δίκαιοι ἐσμὲν διὰ τὴν ἡμετέραν προθυμίαν τοῦτόν τε σῶσαι καὶ ἡμᾶς.

455. Κατάδηλοι δὲ γίγνονται καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς θήραις ὅτι ἔσωζον τὸ φιλόνεικον ἐν ταῖς ψυχαῖς.

456. Ὁ Λύσις θαμὰ ἐπεσκοπεῖτο ἡμᾶς, καὶ δῆλος ἦν ἐπιθυμῶν προσελθεῖν.

## SECTION XVI.

457. Ἔδειξεν ὅτι κερδαλέον ἐστὶν ἡ ἐπιμέλεια.

458. Τυφλὸν καὶ δύστηνον ἐστὶν ἡ Τύχη.

459. Χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς.

460. Ἐν ταῖς εὐνόμοις πόλεσι τιμιώτατόν ἐστιν ἡ ἀρετή.

461. Ἡ μὲν φύσις ἐστὶν ἄτακτον· οἱ δὲ νόμοι τεταγμένον.

462. Ἀμαθία μετὰ σωφροσύνης ὠφελιμώτερον (ἐστὶν), ἢ δεξιότης μετὰ ἀκολασίας.

## SECTION XVII.

463. Αὔριον ὑμᾶς πρῲ ἄξομεν πρὸς αὐτούς· καὶ οἶδα, ὅτι ἐπειδὰν ὑμᾶς ἴδωσιν, ἄσμενοι συνδραμοῦνται.

464. Ὁρῶμεν τοὺς φίλους πάντας ἐθελουσίους συνεπομένους.

465. Ἑσπέριος δ᾽ ἦλθεν· αὐτίκα δ᾽ εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα.

466. Ἀλλ᾽ ἄγετε, ἐσθίετε βρώμην καὶ πίνετε οἶνον αὖθι πανημέριοι.

467. *Ἔλαβον πολλὰ καὶ ἀνδράποδα καὶ πρόβατα· καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν.*

468. *Τελευτῶντες δ᾽ ἐπείσθησαν ἐγγυητὰς παρ᾽ ἐμοῦ δέξασθαι.*

469. *Ἄνοιγε, ἄνοιγε ἀνύσας τὸ φροντιστήριον.*

470. *Ποιήσω ταῦτα, ἀλλὰ θαῤῥῶν λέγε.*

## SECTION XVIII.

471. *Οἱ βόες τὴν φωνὴν τοῦ βουκόλου γνωρίζουσι.*

472. *Ὁ λαγὼς ὑπὸ τῆς κλαγγῆς τῶν κυνῶν ἐκπλήττεται.*

473. *Ἀνακτόριον κεῖται ἐπὶ τῷ στόματι τοὺ Ἀμπρακικοῦ κόλπου.*

474. *Ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου.*

475. *Τὸ ὕδωρ τοῦ Φάσιδος οὐ σήπεται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος.*

476. *Μετὰ τὴν ἐσβολὴν τῶν Πελοποννησίων, εὐθὺς Λέσβος, πλὴν Μηθύμνης, ἀπέστη ἀπ᾽ Ἀθηναίων.*

477. *Διὰ τὴν βαρύτητα τῆς φωνῆς βόμβος τις ἐν τῷ οἰκήματι γιγνόμενος ἀσαφῆ ἐποίει τὰ λεγόμενα.*

478. *Ἐσκέπτετο ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.*

479. *Οὐδὲ μὲν εὕδοντας φυλάκων ἡγήτορας εὗρον, ἀλλ᾽ ἐγρηγορτὶ σὺν τεύχεσιν ἥντο πάντες.*

480. *Ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας.*

481. *Ἀνεχώρησαν, οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ᾽ ἐς τὴν Αἰολίδα, καὶ Πλευρῶνα, καὶ ἐς Πρόσχιον τῆς Αἰτωλίας.*

482. *Διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐκ ἐπλησίαζε.*

483. *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;*

484. *Εἴθ᾽ ὑμᾶς μήτε τὶς ἐπιθυμία μήτ᾽ ἔρως τῆς θήρας ποτὲ λάβοι, μηδὲ ἀγκιστρείας.*

## *a.*

485. *Ἐκέλευον ἐμὲ μεθ᾽ αὑτῶν ἀκολουθεῖν εἰς Δαμνίππου (τὸ δῶμα).*

486. *Ἐν δ᾽ Ἄμμωνος (τῷ ἱερῷ) ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσηγορεύθη.*

487. *Οὐπώποτε αὐτοὺς ἀνηρώτησα εἰ τὸν (υἱὸν) Σωφρονίσκου λέγοιεν.*

488. *Πάρις δ᾽ ἔγημε τὴν (θυγατέρα) Διὸς, γήμας δὲ μὴ, σιγώμενον τὸ κῆδος εἶχεν ἐν δόμοις.*

## *b.*

489. *Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου.*

490. *Οὐκ ἐμίσθωσαν ἡμῶν τὸν οἶκον, ἴσως ἐροῦσι.*

491. *Καὶ ἐπέβαλον τὰς χεῖρας αὑτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.*

492. *Ἐκεῖνος μὲν τέθνηκεν ὑπ᾽ ὑμῶν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει.*

493. *Τούτου τὸν ἀδελφὸν ἀνῃρήκει, διαβληθέντα μὲν, οὐκ ἐλεγχθέντα δέ.*

## *c.*

494. *Ἐκ ταύτης τῆς κατηγορίας ἡ ἐμὴ διαβολὴ γέγονε.*

495. *Πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν.*

## SECTION XIX.

496. *Υἱὸν ἀπέλιπε τεττάρων ἐτῶν.*

497. *Ἦν δὲ ἐν τῷ τεμένει τούτῳ ἀνδριὰς δυώδεκα πηχέων.*

498. *Ὠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν.*

### a.

499. *Δορυφόρος τε ἦν Καμβύσου, καὶ λόγου οὐδενός πω μεγάλου.*

500. *Καὶ εὐθέως ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα.*

## SECTION XX.

501. *Ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάϊνον τάφον, ἀπόδος τὴν ἐμὴν δάμαρτα.*

502. *Κατέβαλεν ἀπὸ τῶν ἐπάλξεων κεραμίδα· ἣ πεσοῦσα ψόφον ἐποίησε, καὶ αὐτίκα βοὴ ἦν.*

503. *Ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς, ἣ περὶ τὴν ὁλκάδα κατέδυ, Τιμοκράτης πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτόν.*

504. *Τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακούσιοι εἶχον.*

505. *Οὐ φθονήσω εἰπεῖν τὴν τέχνην, δι᾽ ἧς τοῦτο ἀπεργάζομαι.*

506. *Ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις.*

### a.

507. *Οὐκ ἔστιν ὅντινα κίνδυνον οὐχ ὑπομένουσι.*

508. *Ξηρὰ δέ ἐστιν ἣν νέμονται βοτάνην, ἀλλὰ πιαίνει σφόδρα.*

509. *Τὴν δὲ γυναῖκα, ἣν εὗρον, οὐ βούλεται ἐλθεῖν.*

## *b.*

510. *Πέμπουσι τὸν Ξενοφῶντα, καὶ σὺν αὐτῷ (ἐκείνους) οἳ ἐδόκουν ἐπιτηδειόταται εἶναι.*

511. *Ἐπίσχετε· εἰσορῶ γὰρ (ἐκείνους) οὓς διώκομεν.*

512. *Ἄγουσιν αὐτὸν παρὰ τὸν Κλέαρχον, καὶ φράζουσι (τὰ πράγματα) ἃ λέγει· ὁ δὲ Κλέαρχος ἀκούσας ἐταράχθη, καὶ ἐφοβεῖτο σφόδρα.*

## *c.*

513. *Τὴν ἐμὴν ἀπειρίαν ἅπαντες ἴσασιν, ὅσοι ἐμὲ γιγνώσκουσι.*

514. *Διήκουε πάντα ἡδέως ὅσα ἐβούλοντο λέγειν· ἔπειτα δὲ καὶ ἐπῄνεσεν αὐτοὺς οὕτως.*

515. *Ποίαν νύμφην πώποτε τοσοῦτοι ἱππεῖς, καὶ πελτασταὶ, καὶ ὁπλῖται προὔπεμψαν, ὅσοι τὴν σὴν γυναῖκα ἐς τὸν σὸν οἶκον προπέμψειαν ἄν;*

516. *Ἡγῇ τοσαῦτα τεκμήρια παρέχεσθαι, ὅσους περ λόγους γέγραφας.*

## *d.*

517. *Σὺν τοῖς θησαυροῖς οἷς ὁ πατὴρ κατέλιπε.*

518. *Τὰ ἐπιτήδεια ὠνεῖσθαι ἐκ τῆς ἀγορᾶς, ἧς παρεῖχον.*

519. *Καὶ παραγενόμενος εἰς Ἀρκαδίαν, ἠξίου Κηφέα μετὰ τῶν παίδων, ὧν εἶχε, εἴκοσι, συμμαχεῖν.*

520. *Οὐκέτι τοὺς νόμους ἐφύλαττον, οὓς παρὰ τῶν προγόνων παρέλαβον, οὐδ᾿ ἐν τοῖς ἤθεσιν ἐνέμενον, οἷς πρότερον εἶχον.*

521. *Ἐπεὶ δὲ ταῦτα διεπράξατο, πέμπει πρὸς Κυαξάρην, καὶ ἐπέστελλεν ἥκειν αὐτὸν ἐπὶ τὸ στράτευμα, ὅπως περὶ τῶν φρουρίων, ὧν εἰλήφεσαν, βουλεύσαιντο.*

522. Ἐνενικήκει ξὺν ᾧ αὐτὸς ξυνέλεξεν ἱππικῷ.

523. Αὐτὸς ὑπεξέρχεται μεθ᾽ ἧς εἶχε φρουρᾶς περὶ ἑαυτόν.

524. Ἔμαθεν ἀπὸ (τῶν πραγμάτων) ὧν ἔπαθε τὴν ὑπακοήν.

525. Ἀλλ᾽ ἐγώ, ἔφη ὁ Ξενοφῶν, σὺν (ἐκείνοις) οἷς ἔχω, τὰ ἄκρα καταλήψομαι.

526. Ἀφικόμενος δὲ ἐς Θήβης πεδίον, καταστρατοπεδεύσατο περὶ τὸ ἱερόν, καὶ ἐκεῖ πρὸς (ἐκείνῳ) ᾧ εἶχε ξυνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα.

## *e.*

527. Ἄλλους ἔπαυον μνηστῆρας, ὅ τις τοιαῦτά γε ῥέζοι.

528. Ἐλάμβανον τὰ ἐπιτήδεια ὅ τι τις ὁρῴη ἐντὸς τῆς φάλαγγος.

## *f.*

529. Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

530. Ὑπώπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς Ἀργείους· ὅπερ καὶ ἐγένετο.

531. Ἤχθοντο ὅτι οἱ ἐλθόντες Ἕλληνες σὺν αὐτοῖς ἐπεφεύγεσαν, ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν ἐν τῇ στρατείᾳ.

## SECTION XXI.

532. Τοὺς παλαιοὺς ἀγῶνας ὕστερον ἐροῦμεν.

533. Οἶμαι δ᾽ αὐτὸν ὀδύρεσθαι τὴν παροῦσαν πενίαν.

534. Τὴν δ᾽ εἰς τοὺς Καρδούχους ἐμβολὴν ὧδε ποιοῦνται.

535. Ἡ δύναμις ἡ ὑμετέρα οὐ δύναται τὰ χωρία τὰ ἐν τῇ θαλάττῃ διασώζειν.

536. Ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν.

537. Καὶ μετὰ ταῦτα ἀνεγιγνώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ τοῦ Φιλίππου.

538. Οἱ δὲ Στράτιοι τρόπαιον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

## a.

539. Ἐτρέψαντο πάντας τοὺς ὄπισθεν φύλακας.

540. Διέφερεν ἐν πᾶσι τοῖς καλοῖς ἔργοις, διὰ τὴν ἀεὶ μελέτην.

541. Πολλαὶ καὶ ἀναγκαῖαι διατριβαὶ ἐγένοντο ἐν τῷ μεταξὺ χρόνῳ.

542. Διακομίζεται ὑπ᾽ αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ.

543. Ὁ στρατὸς ἀφίκετο ἐς τὴν ἐσβολὴν, ἥπερ ἀπὸ Μακεδονίας τῆς κάτω ἐς Θεσσαλίαν φέρει.

544. Κελεύει αὐτὸν παραγενέσθαι εἰς τὸ πρόσθεν (μέρος).

545. Ἄξιον τοίνυν (ἐστὶ) καὶ ἐκεῖνο ἐξετάσαι, πῶς ποτὲ οἱ πάλαι τὰς τιμὰς ἔνεμον.

## b.

546. Ἡ Ῥωμαίων δυναστεία μετέπεσεν εἰς μοναρχίαν.

547. Τοιαῦτα ἑωρᾶτε ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ.

548. Λάχης ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων.

549. Καὶ ἤδη ἐπὶ σκηνὴν ἰόντες τὴν Ξενοφῶντος, ἔλεγον ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια.

### C.

550. Μεταχώρησον ἐς τὴν Φαρναβάζου (χώραν).

551. Ἐὰν ἐπιχειρῇς τὰ τῆς πόλεως (πράγματα) πράττειν.

552. Εὐαγγελίζεται τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

553. Τεκμήραιο δ᾽ ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς ναυσί.

554. Εἰ βούλοιτο ἐνεδρεῦσαι, λάβοι ἂν τὸν Γαδάταν καὶ τοὺς σὺν αὐτῷ.

## SECTION XXII.

555. Ἀνεβίβαζε δὲ ἐπὶ τῶν πύργων ἕκαστον ἄνδρας εἴκοσι.

556. Ἔνιοι δὲ τῶν λογοποιῶν λέγουσιν, ὡς τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημε.

557. Τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν.

558. Ἐς τὴν νησῖδα μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου πολλοὺς τῶν Περσῶν ἀπεβίβασαν.

559. Πρὸς ἐκείνῳ ἄλλους προσαπώλεσαν τῶν ἱππέων.

560. Καὶ δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν ἡ ἐπίκλυσις.

561. Ἀπώλεσε ναῦς τριάκοντα, οἱ δὲ ἄνδρες ἐς τὴν γῆν ἀπέφυγον, τὰς δὲ λοιπὰς τῶν νεῶν ὑπὸ τῷ τείχει ἀνείλκυσε.

562. Κατὰ δὲ τὴν Καρίαν ὁ νεώτερος τῶν ἀδελφῶν ἐξέβαλεν ἐκ τῆς δυναστείας Ἄδαν.

563. Ἐγὼ δὲ πείθομαι ἐκείνην εἶναι πασῶν γυναικῶν καλλίστην.

564. Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν;

565. Τῶν στρατηγῶν δύο μὲν ἀποφεύγουσι, δύο δὲ τελευτῶσι.

566. Ἔπεμψε κρύφα τῶν Ἀθηναίων χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον.

567. *Καὶ ἐπειδὰν τὴν λύραν λάβῃς, οὐ διακωλύουσί σε ἐπιτεῖναί τε καὶ ἀνεῖναι ἣν ἂν βούλῃ τῶν χορδῶν.*

### *a.*

568. *Εὑρήσομεν τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν ἐπαινεῖσθαι βουλομένους.*

569. *Οἱ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀνθισταμένας καὶ τὰς φευγούσας τῶν νεῶν.*

### *b.*

570. *Ὡμολόγησας (ἓν) τῶν μεγίστων ἀγαθῶν εἶναι δικαιοσύνην.*

571. *Οὐκ ἂν θαυμάζοιμι εἰ (εἷς) τῶν ἐλλογίμων γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ.*

572. *Συνῆλθον δὲ καὶ (τινὲς) τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν.*

## SECTION XXIII.

573. *Ἀλλ᾽ ὅμως ἄκουε καὶ τὸ λοιπὸν τοῦ μύθου.*

574. *Τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει.*

575. *Τὸ ἀκριβὲς τῆς ἐξετάσεως οὐκ ἐλεγχθήσεται.*

576. *Εἰς τοῦτο δ᾽ ὠμότητος ἅπαντας ἡμᾶς κατέστησαν.*

577. *Εἰς τοσοῦτον μανίας καὶ παροινίας προυχώρησεν, ὥς τὴν πατρῴαν προσηγορίαν παραιτήσασθαι.*

578. *Τὸ πλεῖστον τοῦ στρατοῦ, ἅμα Ξέρξῃ πορευόμενον ἐπ᾽ Ἀθήνας, ἐσέβαλεν ἐς Βοιωτούς.*

579. *Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπι μέγα ἐχώρησαν δυνάμεως.*

*a.*

580. *Ἐνέβαλον εἰς τὴν Ἀργείαν, καὶ πολλὴν τῆς χώρας ἐδῄωσαν.*

581. *Τὸν πλείω τοῦ χρυσοῦ οὕτω οἱ Ἰνδοὶ κτῶνται, ὥς Πέρσαι φασί.*

582. *Ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς.*

## SECTION XXIV.

583. *Καὶ τὸν πηλὸν, ἀγγείων ἀπορίᾳ, ἐπὶ τοῦ νώτου ἔφερον.*

584. *Τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν, φόβῳ τῶν Ἀθηναίων, θεραπεύουσι.*

585. *Ἔφασαν δὲ πολλοὺς προσχωρήσεσθαι, μίσει τῶν Λακεδαιμονίων.*

586. *Τοῦτον τὸν φόρον θησαυρίζει ὁ βασιλεὺς τρόπῳ τοιῷδε.*

587. *Ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον τῆς νήσου.*

588. *Καὶ ἀναβάντες ὥς ἐδύναντο, ἀνίμων ἀλλήλους τοῖς δόρασι.*

589. *Ἄλλον δέ γε ἴσως ἔπαισα πὺξ, ὅπως μὴ λόγχῃ ὑπὸ τῶν πολεμίων παίοιτο.*

590. *Ἔνθα ὁ Ἀγησίλαος μικρῷ μὲν, καιρίῳ δ᾽ ἐνθυμήματι εὐδοκίμησε.*

591. *Ἔλαβον βρόχοις χῆνας ἀγρίους, καὶ νήττας, καὶ ὠτίδας.*

592. *Ἀγανακτήσαιμι ἂν τῷ ἐρωτήματι καὶ εἴποιμι ἂν, Εὐφήμει, ὦ ἄνθρωπε.*

593. Οἱ νεανίαι τῇ μὲν ἀνδρείᾳ τοῦ Μαξιμίνου ἔχαιρον, τὸν δὲ Ἀλέξανδρον ἐπέσκωπτον.

594. Ὁρῶ παιδίον προκείμενον, κεκοσμημένον χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ.

595. Ἐκείνης τῇ μὲν φύσει, πατήρ εἰμι· τὴν δὲ ἡλικίαν αὐτῆς εἰ ἴδοιτε οὐκ ἂν θυγατέρα μου, ἀλλ᾽ ἀδελφὴν εἶναι αὐτὴν νομίσαιτε.

## SECTION XXV.

596. Σιμωνίδης ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον.

597. Ἀπ᾽ Αἰγέως Αἰγεῖδαι καλοῦνται, φυλὴ μεγάλη ἐν Σπάρτῃ.

598. Τίνει ταύτην δίκην, ὡς λέγουσιν, ὅτι ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.

599. Ῥοδῶπις ἐλύθη ὑπὸ Χαράξου, τοῦ Σκαμανδρωνύμου παιδὸς, ἀδελφοῦ δὲ Σαπφοῦς.

600. Οἱ δὲ ἄλλοι, ἐπειδὴ ἧκον, τὴν πόλιν τοὺς Ταρσοὺς διήρπασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν ὀργιζόμενοι.

601. Καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν, καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ.

602. Καὶ διὰ τῆς Ἀργείας ἰόντες, Λιμναίαν, κώμην ἀτείχιστον, ἐπόρθησαν· ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας.

### a.

603. Διφθέρας, ἃς εἶχον στεγάσματα, ἐπίμπλασαν.

604. Οἱ στρατιῶται τόν τε Κυρατάδην δέχονται στρατηγὸν, καὶ ἔξω τοῦ τείχους ἀπῆλθον.

### *b.*

605. (Ἡμεῖς) *γυναῖκες ἐσμὲν ἀτηρὸν κακόν.*

606. *Οὕτω δὲ (ἡμεῖς) οἱ Μασσαλιῶται κολάζομεν, εἴ τις παράνομα γράψειε.*

607. *Τρῶες δὲ, τὸ κάλλιστον κλέος, ὑπὲρ πάτρας ἔθνησκον.*

608. *Καὶ τότε δὴ ἐβούλευον ὅπως λασιαύχενα βύρσαν θηρὸς τεθνηκότος ἀπὸ μελέων ἐρύσαιμι· ἀργαλέον μάλα μόχθον.*

## SECTION XXVI.

609. *Τὰ σμικρὰ πρὸς τὰ μεγάλα σμικρά ἐστι.*

610. *Γράμμματα δ᾽ ἐν φλοιῷ γεγράψεται Δωριστί.*

611. *Τὰ δὲ τοξεύματα ἐχώρει διὰ τῶν ἀσπίδων καὶ διὰ τῶν θωράκων.*

612. *Γέῤῥα δὲ πάμπολλα ἐλήφθη, ἃ οἱ Ἕλληνες ἀχρεῖα ἐποίουν.*

613. *Καὶ ἐκεῖθεν ὁμοίως ἐκφέρεται τὰ προειρημένα φορτία.*

614. *Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης.*

615. *Πάντες μὲν οἱ Ἀκαρνᾶνες ἔφυγον ἐς τὰ ἄστη, πάντα δὲ τὰ βοσκήματα ἀπεχώρησε πόῤῥω, ὅπως μὴ ἁλίσκηται ὑπὸ τοῦ στρατεύματος.*

## SECTION XXVII.

616. *Αἶ, αἶ, παρέστηκεν ἀγὼν μέγας, πλήρης στεναγμάτων, οὐδὲ δακρύων κενός.*

617. *Ἡ πόλις μεστὴ γενήσεται ἐμπόρων καὶ ξένων καὶ μετοίκων, ὧν νῦν ἔρημος καθέστηκε.*

618. *Οἱ Καρχηδόνιοι γυμνοὶ ἦσαν ὅπλων καὶ ὀργάνων πολεμικῶν.*

619. *Ἐπειδὰν ἡ ψυχὴ καθαρὰ ᾖ πάντων τῶν περὶ τὸ σῶμα κακῶν καὶ ἐπιθυμιῶν.*

620. *Πᾶσα ἡ ὁδὸς ψιλή ἐστι καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων.*

621. *Ὁποίας ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ οὐχ ὁρῶ.*

622. *Ἐπεὶ δὲ ταρβεῖς, ἐγώ σε θήσω τοῦδε ἐλεύθερον φόβου.*

623. *Ὁ Ἰαξάρτης ἀπαρχῆς μέχρι τέλους ἕτερός ἐστι τοῦ Ὄξου.*

624. *Πάντα ταῦτα σωφροσύνης στρατιωτικῆς ἀλλότρια ἐνομίζετο.*

625. *Τοῦτο γὰρ ἴδιόν ἐστι τῆς ἱστορίας.*

626. *Ἔστιν ἐν τῇ Ἀπολλωνίᾳ ταύτῃ ἱερὰ ἡλίου πρόβατα, ἃ βόσκεται παρὰ ποταμόν.*

627. *Ἀνάξιος μὲν (ἐστὶ) σοῦ, κατάξιος δ᾽ ἐμοῦ.*

628. *Ἐδωρήσατο φιάλην ἀργυρᾶν, καὶ τάπιδα ἀξίαν δέκα μνῶν.*

629. *Γύναι, τάδε ἐστὶ σμικρά, καὶ μοναρχίας οὐκ ἄξια, ὡς φῄς, τῆς ἐμῆς, οὐδὲ Ἑλλάδος.*

630. *Ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν, καὶ τὴν τάφρον διέβησαν.*

631. *Μηχανικοὺς τῶν ἐπιτηδείων βούλεται τοὺς παῖδας ποιεῖν.*

632. *Πολύφορος δ᾽ (ἐστὶν) ἡ χώρα σίτου, καὶ ὀρύζης, καὶ ἐλαίου.*

633. *Εἰ οἱ πλουσιώτατοι σαφῶς ἐγκρατεῖς ἔσονται τοῦ Σικυῶνος, ἀτεχνῶς πάλιν λακωνιεῖ ἡ πόλις.*

634. *Ἀήθης γ᾽ εἰμὶ τῶν τοιούτων λόγων.*

635. *Ὡς θρασὺς (ἐστὶν) ὁ Βάκχος, καὶ οὐκ ἀγύμναστος λόγων.*

636. *Πολλὴν στρατιὰν ἤθροισε, πλὴν ἄπειρον μάχης καὶ πόνων.*

637. *Εἰ μὴ ἄπληστος ἦς χρημάτων, οὐκ ἂν νεκρῶν θήκας ἀνέῳγες.*

638. *Πιστοὶ ἦσαν οἱ ὑπηρέται, καὶ ἐπιστήμονες τῶν στρατιωτικῶν.*

639. *Ἔμπειρος δέ εἰμι τῆς Αἰολίδος, καὶ τῆς Φρυγίας, καὶ τῆς Τρωάδος, καὶ τῆς Φαρναβάζου ἀρχῆς πάσης.*

640. *Οὐ μῶρος οἴει εἶναι, εἰ μὴ σκοπεῖς ὅπως μὴ ἰδιώτης ἔσῃ τούτου τοῦ ἔργου;*

## SECTION XXVIII.

641. *Οὐκ ἡγῇ τοὺς σοὺς δούλους βελτίους σου.*

642. *Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον.*

643. *Ἕνα ἐν πολλοῖς ἴσως εὕροις ἄν, ὅστις ἐστὶ μὴ χείρων πατρός.*

644. *Ἀχιλλεὺς ἦν καλλίων οὐ μόνον Πατρόκλου, ἀλλὰ καὶ τῶν ἡρώων ἁπάντων.*

645. *Εὐμορφότερος μὲν Νιρέως ἐστὶν, εὐγενέστερος δὲ τοῦ Κέκροπος, ἢ Κόδρου, συνετώτερος δὲ τοῦ Ὀδυσσέως, πλουσιώτερος δὲ συνάμα Κροίσων ἑκκαίδεκα.*

646. *Ὁ φθόνος οἰκτιρμοῦ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων· οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον· τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν.*

### *a.*

647. *Ἰσχυρότεροί εἰσιν ἢ σί.*

648. *Τίνα μάρτυρα μείζω παράσχωμαι ἢ σὲ κατὰ σεαυτοῦ;*

649. *Περὶ σπουδαιοτέρων πραγμάτων ἔχομεν λέγειν, ἢ τούτων.*

650. *Παρεγένοντο ἐς Κελαινὰς, ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ, καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου.*

### b.

651. *Τραχυτέραν τὴν χώραν ἢ πεδινωτέραν ἂν λέγοις.*

652. *Σκόπει, ὅπως ἀσφαλεστέραν ἢ ταχυτέραν ποιήσαιο τὴν ἐπάνοδον.*

### c.

653. *Τὴν νύκτα τριπλασίαν τῆς ἡμέρας ποιῆσαι διέγνωκε.*

654. *Πεζὴν δύναμιν ἠθροίκει, καὶ ἱππεῖς πολλαπλασίους εἶχε τῶν Βοιωτῶν.*

655. *Ἐν τούτῳ τῷ χώρῳ κεῖται χαλκεῖον, μεγέθει καὶ ἑξαπλάσιον τοῦ ἐπὶ τῷ στόματι τοῦ Πόντου κρατῆρος, ὃν Παυσανίας ὁ Κλεομβρότου ἀνέθηκε.*

### d.

656. *Ἔστιν οὖν Ἰσοκράτους νεώτερος ἔτεσιν ἕξ.*

657. *Ὅσῳ ἂν μεγαλαυχότεροι ὦσι, τοσούτῳ δυσαλωτότεροι γίγνονται.*

658. *Ἦσαν δ᾽ οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμωδέστεροι δὲ πολλῷ.*

659. *Μηχανῶνται δὴ ἐπὶ τῇ καθόδῳ πρᾶγμα εὐηθέστατον μακρῷ.*

## SECTION XXIX.

660. *Εἰ δὲ διασπάσεις, οὔτε σὺ ἔσῃ ἐκείνοις χρήσιμος, οὔτε ἐκεῖνοι σοί.*

661. Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγὼ, ταῦτά ἐστιν ἀγαθὰ, ἅ ἐστιν ὠφέλιμα τοῖς ἀνθρώποις;

662. Ἔσται δ᾽ ὁ λόγος οὔτε μακρὸς, οὔτε ἀνωφελὴς τοῖς ἀκούουσι.

663. Γιγνώσκω δὲ, ὅτι ταῦτα ἀγαθὰ, καὶ καλὰ, καὶ τοῖς θεαταῖς ἡδέα ἔσται.

664. Ὀρόντας ταχὺ αὐτὸν εὗρε Κύρῳ φιλαίτερον, ἢ ἑαυτῷ.

665. Οἱ δὲ Καμαριναῖοι τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν, τοῖς δὲ Συρακουσίοις ἀεὶ διάφοροι.

666. Ἀνήγοντο δὲ οἱ Ἀθηναῖοι ἐπὶ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολεμία αὐτοῖς ἦν.

667. Ἐν τῷ πολέμῳ ἐνέκειντο, καὶ τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν ἢ τῇ Λακεδαίμονι.

668. Ἐάν τινα αἰσθανώμεθα ἐναντίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα, ἐκποδὼν ποιούμεθα.

669. Καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι.

670. Δῆλον τοῖς Θηβαίοις ἐγένετο, ὅτι ἐμβάλλοιεν οἱ Λακεδαιμόνιοι ἐς τὴν χώραν αὐτῶν.

671. Ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ ἐκάθητο.

672. Ὀλιγαρχία ἐπιτηδεία τοῖς Λακεδαιμονίοις κατέστη.

673. Οὐ ῥᾴδιον τῷ ἵππῳ κάμπτειν ἐν μικρῷ, ἄλλως τε κἂν ἀπόκροτον ἢ ὀλισθηρὸν ᾖ τὸ χωρίον.

674. Ἀργαλέον δέ μοι ἐστὶ διασκοπιᾶσθαι ἕκαστον ἡγεμόνων.

675. Οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν, ἀλλὰ παντάπασιν ἀδύνατον.

676. Τὴν Ἀσίαν τῇ Εὐρώπῃ ποιοῦσιν ἴσην.

677. Διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι, καὶ ἰσοπλατεῖς τῷ τείχει.

678. Ὅστις ἂν ὑμῶν βούληται γενέσθαι ὅμοιος Ἀχιλλεῖ, ἢ Αἴαντι, ἢ Νέστορι, ἢ Ὀδυσσεῖ, ἐμὲ θεραπευέτω.

679. Βακτρίοις παραπλησίαν ἔχουσι δίαιταν.

680. Λέγεται καὶ ἄλλα ψευδέσιν εἴκελα περὶ τοῦ ἀνδρὸς τούτου.

681. Ἑαυτὸν παρεῖχεν εὐπειθῆ τοῖς ἄρχουσι, καὶ ἐθελόπονον.

682. Ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι.

683. Οὐκ ἐγενόμην ἀπειθὴς τῷ οὐρανίῳ ὀπτασίᾳ.

684. Ἐπὶ Τεγεάτας ἐστρατεύοντο, χρησμῷ κιβδήλῳ πίσυνοι.

685. Οἶμαι δ' ὑμᾶς πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοί τε καὶ Κτεσιφῶντι.

686. Σκόπει δὴ ὅπως μὴ πᾶσι τούτοις ἔνοχον σαυτὸν ποιήσῃς διὰ τὴν ποίησιν.

687. Φοβοῦμαι δὲ μή τινας ἡδονὰς ἡδοναῖς εὑρήσομεν ἐναντίας.

688. Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.

*a.*

689. Ὁ δὲ Ἑλικὼν συνεχής ἐστι τῇ Φωκίδι.

690. Αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις εἰσὶν ὑμῖν.

691. Παρέλαβεν ἕνα τῶν στρατηγῶν, ὅστις ἦν αὐτῷ ὁμογνώμων.

692. Ἀρμενίων δὲ τῶν ὁμόρων ἡμῖν παρέσονται ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δὲ δισμύριοι.

693. Τοπαλαιὸν Ἀθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιοῦντο τοῖς στρατηγοῖς.

694. Ἄβατος ἡμῖν ἡ Ἑλλὰς ἦν, διὰ τὸν πόλεμον.

695. *Μετὰ τὸν Χαλκιδέως θάνατον, καὶ τὴν ἐν Μιλήτῳ μάχην, τοῖς Πελοποννησίοις ὕποπτος ἦν.*

696. *Ἡ βύρσα οὐκ ἦν σιδήρῳ τμητὴ, οὐδὲ λίθῳ, πειρωμένῳ, οὐδὲ ὕλῃ.*

## b.

697. *Ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν χώρᾳ, καὶ ἐτράφητε.*

698. *Ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἔχομεν.*

699. *Ἔπιε δὲ καὶ στρατηγῶν καὶ ὑπατεύων τὸν αὐτὸν οἶνον τοῖς ἐργάταις.*

## c.

700. *Κοινὸν δὴ τοῦτο, καὶ τῶν Ἑλλήνων, καὶ τῶν βαρβάρων ἐστί.*

701. *Εἴρηκε δὲ καὶ Ἡσίοδος ἀδελφὰ τούτων εἰς τὸν Μίνω.*

702. *Ἐπὶ πολλὰς γενεὰς κατήκοοι ἦσαν τῶν νόμων.*

703. *Ἀπεκρίνατο ὅτι τὰ ἐναντία λέγοιεν τοῦ συμφέροντος.*

704. *Ὃς δ᾽ ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἔνοχός ἐστιν αἰωνίου κρίσεως.*

705. *Ταῦτα τοῦ ἀγαθοῦ ἐστι μᾶλλον ἢ τῆς ἡδονῆς ξυγγενῆ.*

706. *Ἡγοῦμαι ὁμόδουλος εἶναι τῶν κύκνων, καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ.*

## SECTION XXX.

707. *Ταῦτά ἐστι γενναίου καὶ ἀγαθοῦ πολίτου.*

708. *Καὶ ταῦτα ἐποίει, ἡγούμενος εἶναι ἀνδρὸς ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους.*

709. *Τοῦτο τὸ πεδίον ἦν μέν ποτε Χορασμίων, ἐπεὶ δὲ Πέρσαι ἔχουσι τὸ κράτος, ἐστὶ τοῦ βασιλέως.*

710. *Πάντα τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεται.*

711. *Ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία.*

*a.*

712. *Ὑμέτερον ἂν εἴη παύειν, καὶ ἰᾶσθαι τὰ τοιαῦτα.*

713. *Ἐμόν ἐστι καὶ τῶν ἄλλων φίλων τοιαῦτα καὶ λέγειν καὶ γράφειν.*

## SECTION XXXI.

714. *Σὺ ἐπιζηλοτυπεῖν ἔοικας, καὶ τῆς Σεμέλης μνημονεύειν.*

715. *Καὶ τοῦ μὲν Φιλοκράτους ψηφίσματος μέμνηται· τῆς δὲ ἐπιστολῆς, ἣν πρὸς ὑμᾶς ἔπεμψεν, ὅτ᾽ Ἀμφίπολιν ἐπολιόρκει, ἐπιλέλησται.*

716. *Οὐ γὰρ ἂν ἔλεγον, εἰ μὴ μεγάλως ἐκηδόμην συναπάσης τῆς Ἑλλάδος.*

717. *Ἐμαυτοῦ μὲν ἀμελῶ, τὰ δ᾽ Ἀθηναίων πράττω.*

718. *Ἱκανῶς ἐπιδείκνυσαι, ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων.*

719. *Τῆς μὲν ἀληθείας ἐν ταῖς ἀφηγήσεσιν ὠλιγώρησαν, οὐχ ἥκιστα δὲ ἐπεμελήθησαν φράσεώς τε καὶ εὐφωνίας.*

720. *Ἄγαμαί σου, διότι οὐκ ἀργυρίου καὶ χρησίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον ἢ σοφίας.*

721. *Θαυμάζω τῶν στρατηγῶν, ὅτι οὐ πειρῶνται ἐκπορίζειν σιτηρέσιον.*

722. *Λέγουσιν ὡς σὺ τοὺς μὲν κολακεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς.*

723. Ὁ μὲν ἰδιώτης οἰκίας, ἢ ἀγροῦ, ἢ οἰκέτου ἐπιθυμεῖ· ὁ δὲ τύραννος, ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν.

724. Ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι᾽ ἀσθένειαν, ἀλλὰ δι᾽ ἐπιείκειαν.

725. Καὶ ταῦτα ἦν ὧν μάλιστα ἐγλίχετο.

726. Σφόδρα γ᾽, ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. Νὴ Δία, ἔφη ὁ Σωκράτης, τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης.

727. Ἕκτωρ. Τάξαι δὲ μισθὸν, πλὴν ἐμῆς τυραννίδος. Δόλων. Οὐ σῆς ἐρῶμεν τυραννίδος.

728. Αἰσθάνομαι δὲ καὶ τυράννους τινὰς, οἳ οὕτως αὖ πεινῶσι χρημάτων, ὥστε ποιοῦσι πολὺ δεινότερα τῶν ἀπορωτάτων.

729. Διὰ γὰρ ἡμᾶς καὶ ζῶσι, καὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἀπολαύουσι.

730. Οὐ δικῶν, οὐδὲ ἐγκλημάτων, οὐδ᾽ εἰσφορῶν, οὐδὲ πενίας, οὐδὲ πολέμων ἡ πόλις ἔγεμε.

731. Κολάκων μὲν εὐπορεῖ, φίλων δὲ σπανίζει.

732. Εἰ δ᾽ ἄρα σὺ διδασκάλου δέῃ, οὔπω φρονεῖς.

733. Εἰ δέ τινος ἔτι ἐνδεῖσθαι δοκεῖτε, πρὸς ἐμὲ λέγετε· σὺν γὰρ θεοῖς οὐδενὸς ἀπορήσομεν.

734. Οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.

735. Ἐδέοντό μου καὶ συνεβούλευον μὴ καταλιπεῖν τὸν λόγον ἡμιτελῆ.

736. Ἔχρῃζε τῶν Ἀθηναίων προσχωρῆσαι πρὸς ἑαυτούς.

737. Τούτων μὲν οὐχ ἡπτόμην, τοῦ μειρακίου δ᾽ ἐπελαμβανόμην.

738. Τῇ ἀριστερᾷ ἀντελάβετο τρίβωνος τούτου καὶ εἶπεν, Οὐκ ἀφήσομέν σε.

739. Τρόμου παύσασθε, καὶ μέθεσθε ἐμῶν πέπλων.

740. Ὑγιείας τυγχάνειν, καὶ ῥώμης σώματος, καὶ τιμῆς ἐν πόλει, καὶ εὐνοίας ἐν φίλοις, καὶ ἐν πολέμῳ καλῆς σωτηρίας, καὶ πλούτου καλῶς αὐξομένου.

741. Ὄλβιος (ἐστὶν), ὃς τούτων ἀμφοτέρων ἔλαχε.

742. Ξενίων κυρήσετε, οἷα ἐμὸς κεύθει δόμος.

743. Οἱ Ῥόδιοι ἐσφενδόνησαν, καὶ οἱ Σκυθοτοξόται ἐτόξευσαν, καὶ οὐδεὶς ἡμάρτανεν ἀνδρός.

744. Τὴν συμβολὴν οὕτως ἐποιήσατο, καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος.

745. Νῦν μέντοι ὥσπερ ὡρμήσαμεν ἴωμεν, καὶ ἀκούσωμεν τοῦ ἀνδρός.

746. Δεόμεθα οὖν ὑμῶν μετ᾽ εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων.

747. Ὁ δὲ Ἄτλας λέγεται ταῖς κορυφαῖς ψαύειν τοῦ οὐρανοῦ.

748. Τὰ χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου ἐγλίχοντο μὴ ἅψασθαι.

749. Εὔρινες ἔσονται, ἐὰν τοῦ λαγὼ ὀσφραίνωνται ἐν τόποις ψιλοῖς, ξηροῖς, προσηλίοις.

750. Ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πυρὰ ἔκαυσαν.

751. Ὡς δ᾽ ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον ὥσπερ ἐνθουσιῶν.

752. Καὶ τῆς ἀπολογίας ὧδέ πως ἤρχετο.

753. Δίκαιος εἶ σὺ ἡγεῖσθαι τῆς σκέψεως· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου.

754. Ἀλλ᾽ ἄγε, λῆγε ἔριδος, μηδὲ ξίφος ἕλκου χειρί.

755. Ἐπεθύμησαν παύσασθαι τοῦ πολέμου.

756. Κάδμος δὲ Θηβῶν ἐβασίλευσε· Κᾶρες δὲ τὰς νήσους κατῴκουν· Πελοποννήσου δὲ συμπάσης Πέλοψ ἐκράτησε.

757. Ὦ γύναι, εἶπεν, Ἀθηναῖοι μὲν ἄρχουσι τῶν Ἑλλήνων· ἐγὼ δὲ, Ἀθηναίων· ἐμοῦ δὲ, σύ· σοῦ δὲ, ὁ υἱός.

758. Ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους, ὃς κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων.

759. Ἄργους δ᾽ Ὀρέστην ἔα κρατεῖν· ἐλθὼν δ᾽ ἄνασσε Σπαρτιάτιδος χθονός.

760. Ἐκυρίευσαν δὲ τῆς ἀποσκευῆς ἁπάσης, καὶ τῆς τῶν πολιορκουμένων παρασκευῆς.

761. Ἐκέλευε Κλέαρχον μὲν τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι· Μένωνα δὲ, τοῦ εὐωνύμου.

762. Οὐδεὶς Ἀχαιῶν τοῦδε δεσπόσει ποτέ.

763. Τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων.

764. Ἀνόητος εἶ, εἰ οἴει ἂν τὴν ὑμετέραν ἀρετὴν περιγενέσθαι τῆς βασιλέως δυνάμεως.

765. Ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ᾽ ἐκεῖνον ἠρίστευσε.

766. Τὰ ὄρη οὐ λείπεται τοῦ Ταϋγέτου κατὰ ὕψος.

767. Ἡ δὲ βύσσος ἡ ἐν τῇ Ἤλει λεπτότητος μὲν εἵνεκα οὐκ ἀποδεῖ τῆς Ἑβραίων, ἔστι δὲ οὐχ ὁμοίως ξανθή.

768. Οὐ δευτέρων πρωτεύουσιν, ἀλλ᾽ ἡγεμόνων ἡγεμονεύουσι.

769. Οἱ Ἀθηναῖοι ἔπλεον ἐπὶ τὴν Αἴγιναν· καὶ ὑστέρισαν ἡμέρᾳ μίᾳ τῆς συγκειμένης.

770. Παῦσαι οὖν τούτων· ἐγὼ γὰρ θεοὺς ἀκούω ἔρωτος ἡσσῆσθαι.

771. Οὔτε τινὸς φόνου δεινοῦ ἀφέξεται, οὔτε βρώματος, οὔτε ἔργου.

772. Διέχει δὲ ἡ Νέμαυσος τοῦ Ῥοδανοῦ περὶ ἑκατὸν σταδίους.

773. Μετὰ τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντείων.

774. Τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν.

775. Μέχρι γε τούτου οὐκ οἶδα εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου.

776. Οὗτος φυτεύει Πέλοπα, τοῦδ᾽ Ἀτρεὺς ἔφυ.

777. Εὐμένης πατρὸς ἀπόρου πεπίστευται γενέσθαι.

778. Ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.

779. Ἢν οὖν σωφρονῶμεν, ἑξόμεθα αὐτοῦ.

780. Πάλιν ἐστοχάζετο τοῦ μειρακίου, καὶ εἶπεν, Ἐξαπατᾷ σε Εὐθύδημος.

781. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως.

## SECTION XXXII.

782. Ἔγχει δὴ σπονδὴν, καὶ τῶν σπλάγχνων φέρε δευρί.

783. Ἐπὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ, τοῦ αἵματος ἐμπίνει.

784. Τότε μὲν οὐκ ἤσθιον τῶν κυάμων, ἐφιλοσόφουν γάρ· νῦν δὲ φάγοιμι ἄν.

785. Φασὶν ἐν Δελφοῖς τὴν πρόμαντιν, ἐπειδὰν πίῃ τοῦ ἱεροῦ νάματος, ἔνθεον εὐθὺς γίγνεσθαι.

## SECTION XXXIII.

786. Οὐ τριήρης ἀπώλετο τῇ πόλει.

787. Οἱ Οὐωλκαὶ γειτονεύουσι τῷ Ῥοδανῷ.

788. Οἱ ναῦται ἐγεώργουν τοῖς Κερκυραίοις.

789. Δοῦλαι πάρεισιν αἵδε, μή σύ μοι πόνει.

790. Ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνῳ γέγονε.

791. Ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισε τῇ χειρὶ τῷ λαῷ.

*a.*

792. *Καὶ ποῦ, ἔφη ὁ Κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία;*

793. *Ἐμοὶ δὲ πρὸς ταῦτα οὐδαμῶς ἐστι σχολή.*

794. *Ὑπισχνεῖτο, εἰ διαβαῖεν, μισθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις.*

795. *Ἐπεὶ δὲ τρόπαιόν τε ἐστάθη, καὶ ἡ νίκη αὕτη τῷ Τελευτίᾳ ἐγεγένητο, ἀπιὼν δὴ ἔκοπτε τὰ δένδρα.*

796. *Πρὸς πόλεμον πολλὰ φύσει πλεονεκτήματα ἡμῖν ὑπάρχει.*

797. *Πάντες ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα· ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων.*

798. *Μέθετέ με, φροντίδες, μηδέν μοι καὶ ὑμῖν ἔστω.*

*b.*

799. *Εἰ μὴ πέμψετε, ἐπίστασθε ἡμᾶς ὁμολογήσειν τῷ Πέρσῃ.*

800. *Οὔτε γὰρ ἀλλήλοις ὁμοφρονοῦσιν, οὔτ᾽ ἔτι ἀντιστήσονται ὑμῖν.*

801. *Τὸ σῶμα οὐκ ἐμαραίνετο, ἀλλ᾽ ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ.*

802. *Καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς.*

803. *Κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι· καὶ οἱ πλείους προσεχώρησαν τῷ Βρασίδᾳ.*

*c.*

804. *Ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν.*

805. *Ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου.*

806. *Πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν.*

807. Ἔδεισε, μή τις τῶν Ἰώνων ὑποθῆται τοῖς Ἕλλησι.

808. Ἀπώλετο, καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν.

809. Τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ.

810. Ἔγνωσαν κερδαλεώτερον εἶναι Κύρῳ καλῶς πειθαρχεῖν, ἢ τὸ κατὰ μῆνα κέρδος.

811. Ἐπιτάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον (ἐστὶ παίειν), μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι.

812. Ἐκέλευσε τοὺς λέγοντας ἐν τῷ δήμῳ τῇ εἰρήνῃ μὴ ἐπιτιμᾷν.

813. Ἐτόλμησαν ἐπιπλῆξαί μοι, λέγοντες ὡς ἀτόποις καὶ λίαν ἀνοήτοις ἐπιχειρῶ πράγμασι.

814. Φήσουσί με σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν.

815. Εἴ γε κλαίειν ἐπειρώμεθά σε ποιεῖν, σφόδρα ἂν ἡμῖν ἐμέμφου.

816. Οὔτ᾽ ἐγκαλεῖτε αὐτῷ, οὔθ᾽ ἡγεῖσθε ἀδικεῖσθαι.

817. Τοῖς πυλωροῖς ἠπείλουν, ὅτι σφᾶς παρῆκαν.

818. Ἐμοὶ μέντοι, ὦ ἄνδρες, οὐ δικαίως γε δοκεῖτε τῷ ἀνδρὶ τούτῳ χαλεπαίνειν.

819. Ὠργίζοντο τοῖς Ἠλείοις, ὅτι ἐποιήσαντο ξυμμαχίαν πρὸς Ἀθηναίους.

820. Ἢν αἴσθηται ὅτι ἐδίωκες, οὐ σοὶ μόνον, ἀλλὰ καὶ ἐμοὶ λοιδορήσεται, ὅτι σε εἴων.

821. Ἐλθοῦσα προσεκύνει αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι.

822. Ἴστε ὅτι μετὰ θελόντων τοῖς συμμάχοις ἀρήγειν μαχεῖσθε.

823. Ἀμύνατε οὖν τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι.

824. Ἐκεῖ ταῖς μὲν φιλίαις πόλεσιν ἐπεκούρει, εἴ τις του δέοιτο, Θυριεῦσι δὲ ἐπολέμει.

825. Τῷ μὲν δήμῳ, ταῦτα συνέφερε· τοῖς δὲ λέγουσιν, οὐκ ἐλυσιτέλει.

826. Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

827. Ἀνδράσι δὲ προτέροις ἐρίζειν οὐκ ἐθελήσω.

828. Οὔπω ᾔσθου καὶ ἕνα ἄνδρα δι᾽ ἀφροσύνης ἐπιχειροῦντα κρείττονι ἑαυτοῦ μάχεσθαι;

829. Κορίνθιοι ἐπολέμησαν ἰδίων τινῶν διαφορῶν ἕνεκα τοῖς Ἀθηναίοις.

830. Θεοκλύμενος. Βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον; Ἑλένη. Ἥκιστα, μὴ δούλευε σοῖς δούλοις.

831. Ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.

832. Εἴπατε, ἐκ ποίας πάτρας Ἑλληνικοῖς δώμασι πελάζετε;

833. Ὡς δ᾽ ἤδη τοῖς βασιλείοις ἐπλησίαζεν, ὁ Ἀρτάβανος ὑπήντετο αὐτῷ ἐν τῷ πεδίῳ.

834. Οἱ ἱππεῖς ἐντυγχάνουσι πρεσβυταῖς πορευομένοις ποι.

835. Λαμβάνουσιν ὑποζύγιά τε πεντακόσια, καὶ ἀνθρώπους οἳ εἵποντο τοῖς ζεύγεσι.

836. Ἐὰν ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰσάξω σε ἐς τὴν ἀκρόπολιν.

837. Τοιαύτῃ θεῷ τίς ἂν προσεύχοιτο; ἣ γυναικὸς οὕνεκα τοὺς εὐεργέτας Ἑλλάδος ἀπώλεσε.

838. Ἔχαιρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς, ἠρᾶτο δ᾽ Ἀθήνῃ.

839. Ἕνεκα τούτου σοι ἡδέως διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί.

840. Εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ, ἢ ἄγγελος, μὴ θεομαχῶμεν.

841. *Χρῶνται δὲ τοῖς φύλλοις, οὐ τοῖς κλωσὶν, οὐδὲ τῷ καρπῷ.*

842. *Οἷς βασιλεὺς πιστεύει, οὗτοι μισοῦσι, καὶ πολεμοῦσι Φιλίππῳ.*

843. *Ἡμῖν μὲν, καὶ Λακεδαιμονίοις ἠπίστει, Φιλίππῳ δ᾽ ἐπίστευε.*

844. *Ὁ δὲ Δημοκήδης οὗτος, ὧδε ἐκ Κρότωνος ἀφιγμένος, Πολυκράτει ὡμίλησε.*

845. *Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.*

846. *Ἔφασκεν οὐχ ἁρμόζειν Ῥωμαίῳ γάμον βάρβαρον.*

847. *Ὁ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.*

848. *Οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ.*

849. *Τοὺς πολιτικοὺς παρεκάλεσεν εὐνοεῖν Ῥωμαίοις, καὶ μνημονεύειν τῆς εὐεργεσίας.*

## SECTION XXXIV.

850. *Ὄρνυσθε, ἱππόδαμοι Τρῶες, μηδ᾽ εἴκετε χάρμης Ἀργείοις.*

851. *Ὁ ποταμὸς ἡμῖν παρακεχώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ.*

852. *Ὑπανίστανται δέ μοι ἤδη καὶ θάκων, καὶ ὁδῶν ἐξίστανται.*

853. *Νῦν δέ μοι μετάδος τῶν ταινιῶν, ἵνα ἀναδήσω τὴν τούτου κεφαλήν.*

854. *Μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίστων.*

855. *Κοινωνοῦσι τοῖς ἀνδράσι τῶν ἐν τοῖς πολέμοις κινδύνων.*

856. *Τίς οὐκ ἂν φθονήσειέ σοι τοιούτου ἐραστοῦ;*

857. *Ἐτόλμησαν ἀμφισβητεῖν Καρχηδονίοις τῆς θαλάττης.*

## SECTION XXXV.

858. *Πόθεν οὖν βούλει ἄρξωμαί σε τῆς γεωργίας ὑπομιμνήσκειν;*

859. *Τὴν Ῥώμην ἐπλήρωσεν ἀνδριάντων καὶ εἰκόνων, ἐν τῷ Καπετωλίῳ καὶ ἐν ἄλλοις ἱεροῖς.*

860. *Τὰ πλοῖα πάντα ἐγέμισε τῶν τε ἀνδραπόδων καὶ τῶν χρημάτων.*

861. *Ἄνευ σωφροσύνης καὶ δικαιοσύνης, λιμένων, καὶ νεωρίων, καὶ τειχῶν, καὶ φόρων, καὶ τοιούτων φλυαριῶν, ἐμπεπλήκασι τὴν πόλιν.*

862. *Τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χεῖρας;*

863. *Διὰ τὴν αὐτοῦ προπέτειαν, οὐ μόνον αὑτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας, ἀλλὰ καὶ τοὺς συνακολουθοῦντας εἰς τὰς ἐσχάτας συμφορὰς κατέστησε.*

864. *Καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;*

865. *Ὦ ξένε, κατοίκτειρόν με, λῦσόν με δεσμῶν.*

866. *Χραίσμετέ μοι, ῥύσασθε δυσάμμορον ἀνέρα λύμης.*

867. *Τὴν δὲ πόλιν οὕτως ἀνόμου καὶ δεινοῦ προστάγματος ἠλευθέρωσε.*

868. *Ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατὸν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.*

869. *Ἐκώλυον Λακεδαιμονίους καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος.*

870. *Κλεομένης δὲ νοστήσας ἀπ' Αἰγίνης, ἐβούλευε τὸν Δημάρατον παῦσαι τῆς βασιλείας.*

871. *Ἔγχει δ' αἰεὶ Τρῶας ἤμυνε νεῶν, ὅστις φέροι ἀκάματον πῦρ.*

872. *Προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεός.*

*a.*

873. Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;

874. Βουλοίμην ἂν χαρίζεσθαί σοι, εἴ μου δύνατα δέοιο.

875. Πυνθάνομαι τὸν πάντα λόγον θεράποντος, ὃς ἐνεχείρισε τὸ βρέφος.

876. Ταῦτα δ᾽ ἀσμένως ἤκουον αὐτοῦ, διὰ τὴν τόθ᾽ ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους.

## SECTION XXXVI.

877. Χώρει δεῦρο, δεῖξον σαυτὸν τοῖς θεαταῖς.

878. Ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.

879. Ἐὰν δ᾽ ἀληθεύσῃς, ὑπισχνοῦμαί σοι δέκα τάλαντα.

880. Ἀναστάντες, θύουσι Διονύσῳ κριὸν ἐνιαύσιον.

881. Τίνι ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης;

882. Τισίας πολλάκις ὀνειδίζει μοι τὴν φυγὴν τοῦ πατρός.

883. Ἐπετρέψατε αὐτῷ πατρίδα, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς.

884. Τὰς δὲ περισσὰς σκηνὰς Κύρῳ παρέδοσαν, ὡς τοῖς Πέρσαις γένοιντο.

885. Ὥστε καὶ νῦν διαμένει ἡ ὅπλισις, ἣν τότε Κῦρος τοῖς ἱππεῦσι κατεσκεύασε.

886. Τοὺς δ᾽ οἰκέτας καταλείπει τῷ κωμάρχῃ, πλὴν τοῦ υἱοῦ ἄρτι ἡβάσκοντος.

887. Ὦ παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρεψάς με ὧδε ἀφικέσθαι!

888. Οὐ μόνον ἄρα εὐτυχίαν, ἀλλὰ καὶ εὐπραγίαν, ὡς ἔοικεν, ἡ ἐπιστήμη παρέχει τοῖς ἀνθρώποις ἐν πάσῃ κτήσει τε καὶ πράξει.

## SECTION XXXVII.

889. *Τί δή με δράσεις; παῖδά μου κατακτανεῖς;*

890. *Ἀτὰρ διατί γε ταῦτα ἐπιβουλεύει ποιεῖν ἡμᾶς;*

891. *Οὐδαμοί πω Πέρσας κακὰ πλείω εἰργάσαντο.*

892. *Λάμαχος. Τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς; Δικαιόπολις. Οὐκ οἶδά πω.*

893. *Μὴ λέγε τὸν σὸν ἄνδρα, φίλη, τοιαῦτα, Διώνη.*

894. *Ἐάν τι ἐρωτᾷ σε Σωκράτης, ἀποκρινῇ; ἢ πῶς ποιήσεις;*

895. *Τίς ἐστιν ἡ νεᾶνις; ὡς Ἑλληνικῶς ἀνήρεθ' ἡμᾶς τοὺς ἐν Ἰλίῳ πόνους! καὶ τὸν ἄθλιον Ἀγαμέμνονα ὡς ᾤκτειρεν! ἀνηρώτα τε ἐμὲ γυναῖκα, παῖδάς τε.*

896. *Ἐπιθυμῶν ἀεὶ λαμπρόν τι ἐργάζεσθαι, αἰτεῖ τὸν Ἀγησίλαον ὁπλίτας.*

897. *Σὲ δὲ οὐκέτι ἀπαιτήσουσι τὸν μισθὸν, ἀλλ' ἀπαλλάξονται ἐκ τῆς γῆς.*

898. *Εἰσέπραξε Λεπτίνην τέτταρας καὶ τριάκοντα δραχμὰς, καὶ Θεόξενον δραχμὰς ἑβδομήκοντα.*

899. *Τὴν νῆσον οὔτ' ἐκείνους, οὔθ' ὑμᾶς ἀφειλόμην, ἀλλὰ τὸν λῃστὴν Σώστρατον.*

900. *Ἵνα ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν, λέξον ἡμῖν, πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν.*

901. *Παιδεύουσι τοὺς παῖδας τρία μόνα, ἱππεύειν, καὶ τοξεύειν, καὶ ἀληθίζεσθαι.*

902. *Ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ.*

903. *Διογείτων τὴν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρός.*

*a.*

904. Ἀτὰρ τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;

905. Βούλομαι δ' ὑμᾶς τοὺς λόγους, οὓς ἔλεγεν, ὑπομνῆσαι· οἶδα γὰρ ὅτι μνησθήσεσθε.

906. Ταῦτ' ἄρα σὲ τότε διεκώλυσα, ὡς σὺ φῄς.

*b.*

907. Καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους εὖ ποιεῖ.

908. Ἐμὲ ἥδιον κακῶς λέγουσιν, ἢ σφᾶς αὐτοὺς ἐπαινοῦσι.

*c.*

909. Ἐμὲ μὲν μεγάλα ἐζημίωσε, τὴν δὲ πόλιν οὐ μικρὰ ἔβλαψε.

910. Οὐ μόνον οὐ βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσετε τὴν πόλιν, καὶ ὑμᾶς αὐτούς.

*d.*

911. Οὐκ (εἰς) ταῦτα προὐκαλεῖτο τοὺς συνόντας.

912. Τὸ στράτευμα κατένειμε (εἰς) δώδεκα μέρη.

913. Τούτων δὲ τῶν συμμοριῶν ἑκάστην διελεῖν κελεύω (εἰς) πέντε μέρη κατὰ δώδεκα ἄνδρας.

*e.*

914. Καλοῦσι δ' αὐτὸν, ᾧ λατρεύομεν, Πολύφημον.

915. Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ.

916. Ἐψηφίσαντο βοηθεῖν πανδημεὶ, καὶ Ἰφικράτην στρατηγὸν εἵλοντο.

917. Ὕβριν μὲν, παίδευσιν καλοῦσι· ἀναρχίαν δὲ, ἐλευθερίαν· ἀσωτίαν δὲ, μεγαλοπρέπειαν· ἀναίδειαν δὲ, ἀνδρίαν.

918. Ἀλλ' ἔχει νόσον πενία· διδάσκει γ' ἄνδρα τῇ χρείᾳ κακόν.

919. Πολλοὶ ἀδικηθέντες ὑπὸ ῥητόρων, τοὺς υἱοὺς ῥήτορας διδάσκουσιν· οὐδεὶς δὲ ἀδικηθεὶς ὑπὸ λύκου, αὐτὸς λύκος γίγνεται, καὶ ἀντιδάκνει.

## SECTION XXXVIII.

920. Ἐπεὶ ἤκουσε, χαλεπῶς ἤνεγκεν, ἐνθυμούμενος οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀπεστέρητο.

921. Ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος.

922. Πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς, ὑπὸ γὰρ τῶν Συρακουσίων τῆς τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης.

923. Τὰ ἄλλα πάντα, ὅσα ἠξιώται ταύτης τῆς προσρήσεως.

924. Καὶ πάλιν ἠρώτων, τίνι ἵπποι τρέφοιντο.

925. Ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὑτοῦ ἐπὶ τὴν ἄμμον.

926. Καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, ταχὺ ἀπεκρίνετο.

927. Ἀπαιτοῦσι τὰς πόλεις τοὺς Ἀρκάδας, ἃς ὑπὸ Λακεδαιμονίων ἀφῃρέθησαν.

928. Ὦ τέκνον, ὦ παῖ παιδὸς μογεροῦ, συλώμεθα σὴν ψυχὴν ἀδόκως.

929. Μουσικὴν μὲν ὑπὸ Λάμπρου ἐπαιδεύθη, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος.

930. Οἱ πλείονες τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα.

## a.

931. Τὴν τῆς ἀποσκευῆς ἐπετέτραπτο φυλακήν.

932. Δικαιότατοι δὲ νομίζονται, καὶ διὰ τοῦτο πιστεύονται τὰς κρίσεις.

933. Ἐμοὶ ἀνάγνωθι ἐπὶ τίνος ἄρχοντος ἐχειροτονήθη τὴν ἀρχήν.

934. Ἐνεχείρισαν ἑαυτοὺς, καὶ ἀναχθέντες πρὸς βασιλέα, ἀπετμήθησαν τὰς κεφαλάς.

935. Ἐπλήγη τὴν κεφαλὴν πελέκει ἐν τῷ Πρυτανείῳ.

936. Ἀνιμήσαντο δὲ καὶ τὸν ἄθλιον τράγον συντεθραυσμένον ἄμφω τὰ κέρατα.

## b.

937. Ὑφ᾽ ὑμῶν ἐτιμᾶτο, καὶ πολλὴν οὐσίαν ἐκέκτητο.

938. Ἀδικούμεθα, ὦ γυναῖκες· εἰργόμεθα γὰρ τάφου πρὸς ἀνδρὸς τοῦδε.

939. Ταῦτα οὕτω ἐῤῥήθη ἐκ τοῦ κυβερνήτου πρὸς Ξέρξην.

940. Ἐπράχθη ἀπ᾽ αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον.

941. Οὗτοι γὰρ ἐπιστημόνως ζῶντες οὐχ ὁμολογοῦνται παρὰ σοῖ εὐδαίμονες εἶναι.

942. Ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος.

943. Ἀγαμέμνονος τύχας ἠπιστάμην, καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο.

944. Ὅστις ποθ᾽ ὑμῶν κάτοιδεν ἀνδρὸς ἐκ τίνος διώλετο, τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί.

945. Ἐκ Νάξου ἔφυγον ὑπὸ τοῦ δήμου· φυγόντες δὲ ἀφίκοντο ἐς Μίλητον.

*c.*

946. Ὡς ὑπὸ Τυδείδῃ πυκιναὶ ἐκλονέοντο φάλαγγες.

947. Τοῦτο οὐδαμοῦ τοῦ βιβλίου λέλεκταί μοι.

948. Μὴ τοίνυν ἃ ἐπέπρακτο ἢ Λακεδαιμονίοις ἢ Φωκεῦσιν, ἀκούετε, μηδ' ἀνέχεσθε.

949. Γυμναστικῇ μέν που καὶ μουσικῇ ἔν γε τῷ πρόσθεν ἐπαιδεύοντο ἡμῖν.

950. Χρήμασι δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται.

951. Φιλοτιμοῦνται ἐπιδείκνυσθαι πρὸς ἅπαντας, ὅτι οὐκ ἄλλως αὐτοῖς πεπόνηται.

## SECTION XXXIX.

952. Ἦσαν παρόμοιοι τοῖς Ἕλλησι τὸν ἀριθμόν.

953. Ἦν δὲ καὶ τὴν ὄψιν φοβερώτατος, καὶ μέγιστος τὸ σῶμα.

954. Ἦν δὲ καὶ ἄλλως φιλόξενός τε καὶ μεγαλοπρεπὴς τὸν Θετταλικὸν τρόπον.

955. Σὺ δέμας, φωνήν τε, πόδας τε Ὀδυσσεῖ ἔοικας.

956. Ὁ δὲ τοῦ λωτοῦ καρπός ἐστι γλυκύτητα τοῦ φοίνικος τῷ καρπῷ προσείκελος.

957. Οὐκ ἔστιν ὅστις πάντα ἀνὴρ εὐδαιμονεῖ.

958. Ἔβαλε δὲ Προθοήνορα δεξιὸν ὦμον.

959. Παρὰ τὴν πόλιν ἦν πυραμὶς λιθίνη, τὸ μὲν εὖρος ἑνὸς πλέθρου, τὸ δὲ ὕψος δύο πλέθρων.

960. Ἐλογίζοντο ἥξειν ἅμα ἡλίῳ δύνοντι εἰς κώμας τῆς Βαβυλωνίας χώρας· καὶ τοῦτο οὐκ ἐψεύσθησαν.

961. Ἦσαν θαυμάσιοι τὸ κάλλος καὶ τὸ μέγεθος· ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε.

962. Ἐγώ εἰμι τὸ μὲν γένος Ἀσσύριος· ἔχω δὲ καὶ τεῖχος ἰσχυρὸν, καὶ χώρας ἐπάρχω πολλῆς.

963. Χρυσῷ δὲ καὶ χαλκῷ τὰ πάντα χρῶνται.

## SECTION XL.

964. Καὶ σκοπῶμεν εἰ ἡμῖν πρέπει, ἢ οὔ.

965. Ἀλλ', εἰ δοκεῖ σοι, τούσδ' ἀπαγγελῶ λόγους γέροντι.

966. Χειρὶ δ' οὐκ ἔξεστί μοι τῆς σῆς λαβέσθαι γενειάδος.

967. Συμφέρει δὲ Φιλίππῳ, καὶ Φωκεῦσι, καὶ ὑμῖν ὁμοίως ἅπασι, τῆς ἀναλγησίας, καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων.

968. Ἐμοὶ μὲν τοίνυν ἀρκεῖ καὶ αὖθις λαβεῖν· τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ, οἳ σὺν εμοὶ ἠκολούθησαν, καὶ λοχαγοῖς.

969. Καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μιτυληναίους ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι.

970. Τοῖς μὲν ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν, ὅπη βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται.

971. Ὡς εἶδον τὸν Ξενοφῶντα, προσπίπτουσιν αὐτῷ, καὶ λέγουσι, Νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι.

### a.

972. Ὑπεξαιρεῖν τούτους πάντας δεῖ τὸν τύραννον, εἰ μέλλει ἄρξειν.

973. Σὲ δ' οὐ φθονεῖν χρή· μυρία ἐστὶν ἄλλα σοι, ἐφ' οἷς τέρψῃ.

974. *Ὡς δὲ πάντες συνῆλθον οὓς ἔδει (συνελθεῖν), καὶ σιωπὴ ἐγένετο, Κυαξάρης εἶπεν ὧδε.*

975. *Ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους, μηδεὶς διδασκέτω.*

976. *Περὶ Αἴγυπτον οὐκ ἔξεστι βασιλέα χωρὶς ἱερατικῆς ἄρχειν.*

977. *Στρατεύσας δ' ἐπὶ τοὺς ἡμετέρους προγόνους, ἔπαθεν ἃ προσῆκεν αὐτὸν (παθεῖν).*

## b.

978. *Κομψοτέρας δέ τινος ἀσκήσεως δεῖ τοῖς πολεμικοῖς ἀθληταῖς.*

979. *Σκοποῦμαι, τίνα τρόπον διαλεχθῶ περὶ αὐτῶν· μέλει γάρ μοι τούτων μᾶλλον, ἢ τῶν ἄλλων.*

980. *Εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου· εἰ δὲ μή, προσδεῖ· μᾶλλον δὲ ἅπαντὸς ἐνδεῖ τοῦ πόρου.*

981. *Μετέμελε δὲ αὐτοῖς ἁπάντων τῶν εἰρημένων, ὡμολόγουν δὲ μηδενὸς πώποτε τοσοῦτον πράγματος διαμαρτεῖν.*

982. *Τάχα δὲ καὶ πορφυρίδα μεταμφιάσομαι, ὡς εἰδεῖεν, ὅτι μηκέτι μοι τῶν λήρων ἐκείνων μέτεστι.*

983. *Ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν οὐδεμιᾶς ἀρετῆς προσήκει.*

## c.

984. *Χαίρων ἴθι· οὐ γάρ σῶν με δεῖ θεσπισμάτων.*

985. *Μακροῦ γε δεῖ σε, καὶ σοφοῦ λόγου, ὅτῳ με πείσεις μὴ φίλους κατακτανεῖν.*

## SECTION XLI.

986. *Ἀκαρνᾶνες δὲ, σκυλεύσαντες τοὺς νεκροὺς, καὶ τροπαῖα στήσαντες, ἀπεχώρησαν ἐς Ἄργος.*

987. *Ἅπαντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους, λίαν ἂν μακρολογοίην.*

988. *Ἀκούσαντες τῆς σάλπιγγος, εὐθὺς ἵεντο ἄνω κατὰ τὴν φανερὰν ὁδόν.*

989. *Ἥρωες, Ἴλιον οἳ διέπερσαν, ἀρήγοντες Μενελάῳ.*

990. *Πεντηκόντερον πληρώσας ἀνδρῶν, ἐσέβη ἐς αὐτήν.*

991. *Ταῦτα, ἦν δ᾽ ἐγὼ, χρὴ ποιεῖν, καὶ ἅμα λαβὼν τὸν Κτήσιππον, προσῄειν εἰς τὴν παλαίστραν.*

992. *Οἱ δὲ Ἀθηναῖοι, καταδιώξαντες, καὶ ναῦς δώδεκα λαβόντες, τούς τε ἄνδρας ἐξ αὐτῶν ἀνελόμενοι, ἐς Μολύκρειον ἀπέπλεον· καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ, καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι, ἀνεχώρησαν ἐς Ναύπακτον.*

### *a.*

993. *Παρὰ Κύρου, δούλου ὄντος, οὐδεὶς ἀπῄει πρὸς βασιλέα.*

994. *Ἐκείνῳ προσῆκεν, ὄντι στρατηγῷ, κολάσαι τοὺς ἑαλωκότας.*

995. *Ἔφη Δημάρατον οὐχ ἱκνουμένως βασιλεύειν Σπαρτιατῶν, οὐκ ὄντα παῖδα Ἀρίστωνος.*

996. *Ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας.*

997. *Καὶ τὴν γῆν, πρότερον λεγομένην Ἀκτὴν, ἀφ᾽ ἑαυτοῦ Κεκροπίαν ὠνόμασε.*

## SECTION XLII.

998. *Ὀχληρὸς ἴσθι ὢν, καὶ τάχα ὠσθήσῃ βίᾳ.*

999. *Οὐκ οἶσθα ὑβρισθεῖσάν με, καὶ ναοὺς ἐμούς;*

1000. Ἐπεὶ ἔγνωσαν οὐ δυνησόμενοι κωλύειν, ἔπεμψαν δύο κήρυκας.

1001. Οὐκ αἰσθάνεσθε ἐξαπατώμενοι, ἀλλ᾿ ἐὰν ἀκούσητέ μου, ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω.

1002. Ἡσθέντα δ᾿ αὐτὸν ὡς ἐπῃσθόμην ἐγὼ, ἄλλην ἔδωκα κύλικα.

1003. Κατέμαθον ἀναστὰς μόγις, καὶ τὰ σκέλη μόγις ἐκτείνας.

1004. Ταύτην δὲ τὴν τάφρον ποιεῖ ἀντὶ ἐρύματος, ἐπειδὴ πυνθάνεται Κῦρον προσελαύνοντα.

1005. Σκοπούμενος εὕρισκον οὐδαμῶς ἂν ἄλλως τοῦτο διαπραξάμενος.

1006. Ἢ δεῖξον οὐ πεποιηκότα ταῦτα σαυτὸν, ἢ δίκην ὕπεχε.

1007. Ἀπέφαινε τὸν Δημάρατον οὔτε ἐξ Ἀρίστωνος γεγονότα, οὔτε ἱκνουμένως βασιλεύοντα Σπάρτης.

1008. Μέμνημαι τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρ᾿ Ἀντισθένους.

1009. Εἰ δὲ ἠνέσχετο βασιλευόμενος ὑπὸ Κλεομένους, καὶ κατέμενεν ἐν Σπάρτῃ, ἐβασίλευεν ἂν Λακεδαίμονος.

1010. Μενοῦμεν παρὰ σοὶ, καὶ ὁρῶντές σε ἀνεξόμεθα, καὶ καρτερήσομεν ὑπὸ σοῦ εὐεργετούμενοι.

1011. Καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω, μὴ περιϊδεῖν τὴν ἡγεμονίαν αὖθις ἐς Μήδους περιελθοῦσαν.

1012. Πάνυ ἡδέως σοι διηγήσομαι ἃ ἐγὼ ποιῶν διατελῶ, ἵνα καὶ μεταῤῥυθμίσῃς με, ἐάν τι σοὶ δοκῶ μὴ καλῶς ποιεῖν.

1013. Φοίβῳ δουλεύσω, καὶ οὐ λήξω τοὺς βόσκοντας θεραπεύων.

1014. Μόλις μὲν ἐπείσθητε ἀφεῖναι, στρατηγοῦντα δ᾿ αὐτὸν ἐπαύσατε.

1015. Ἔχαιρεν οὖν μᾶλλον συστρατιώτην μὲ, ἢ υἱὸν καλῶν.

1016. *Εἰ μὴ ἔλαχον τήνδε τὴν τάξιν, ᾐσχυνόμην ἂν ἐνθάδε ὤν.*

1017. *Ἀπεκρίνατο ὅτι πειθομένοις αὐτοῖς οὐ μεταμελήσει.*

*a.*

1018. *Συνεγίγνωσκεν ἑαυτῷ τῆς παρούσης ταραχῆς αἰτίῳ γεγονότι.*

1019. *Ἑαυτῷ σύνοιδεν ἐλευθερίας μὲν ἐπιθυμήσας, δοῦλος δ' ὡς οὐδεπώποτε γενόμενος.*

## SECTION XLIII.

1020. *Ὁ Κυρατάδας ἔλαθεν ἀποδρὰς, καὶ ἀπεσώθη ἐς Δεκέλειαν.*

1021. *Λανθάνομεν ταυτὰ ἐκείνοις τοῖς δεινοῖς ἀνδράσι ποιοῦντες.*

1022. *Ἀναστὰς, ἐφύλαττε μὴ λάθῃ αὐτὸν ὁ πατὴρ ἐξελθών.*

1023. *Ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα.*

1024. *Ὅπου δὲ δειπνοποιοῖτο καὶ καθεύδοι, ἐν μὲν τῷ στρατοπέδῳ πῦρ νύκτωρ οὐκ ἔκαε, πρὸ δὲ τοῦ στρατεύματος φῶς ἐποίει, ἵνα μηδεὶς λάθῃ προσιών.*

1025. *Ἔτυχον καθήμενος ἐν δεξιᾷ αὐτοῦ παρὰ τὴν κλίνην ἐπὶ χαμαιζήλου τινός.*

1026. *Τοῖς ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ὠφελείας, ὧν δεόμενοι τυγχάνομεν.*

1027. *Καὶ τῶν τε Ἑλλήνων οἳ μὴ ἔτυχον ἐν ταῖς τάξεσιν ὄντες, εἰς τὰς τάξεις ἔθεον, καὶ Ἀριαῖος (ἐτύγχανε γὰρ ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρωτο) καταβὰς ἐθωρακίζετο.*

1028. *Φύλασσε δ' ἢν τις, πρὶν τελευτηθῇ φόνος, ἐλθὼν ἐς οἴκους φθῇ.*

1029. *Ἡμιλλῶντο, ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσοντες.*

1030. *Ὁ δὲ Λύσανδρος ἄγων τὸ στράτευμα ἔφθη τὸν Πανσανίαν ἐν τῷ Ἁλιάρτῳ γενόμενος.*

1031. *Οὐκ ἔφθησαν τὴν ἀρχὴν κατασχόντες, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν, ἐπὶ δὲ τὸν βασιλέα Κλέαρχον καὶ στρατιὰν ἐξέπεμψαν.*

*a.*

1032. *Ἐρεῖ δέ με, ὅστις ἐχθρὸς ὢν κυρεῖ, τάδε· Ἰδοῦ τὸν αἰσχρῶς ζῶντα, ὃς οὐκ ἔτλη θανεῖν.*

## SECTION XLIV.

1033. *Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες.*

1034. *Κατὰ τὴν ἀγορὰν περιϊὼν, ἀσεβεῖς καὶ δεινοὺς λόγους ἐτόλμα περὶ ἐμοῦ λέγειν· ὡς ἐγὼ τὸ πρᾶγμά εἰμι δεδρακὼς τοῦτο.*

1035. *Προειρηκὼς ἦν αὐτοῖς, ἐφ' ἃ συνεληλυθότες ἦσαν, ἀνέγνωστο δ' ὁ λόγος, ἐπῃνημένος δ' ἦν, καὶ τεθορυβημένος.*

1036. *Σὲ πρὸς τοῦ σοῦ τέκνου, καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.*

1037. *Οὐ γὰρ ἐχθρός γε ὑπῆρχεν ὤν, οὐδ' ἐφ' ὕβρει τοῦτ' ἐποίησε.*

1038. *Ἑνὸς μόχθου σε ἀπαλλάξας ἔχω. Σκαμανδρίους γὰρ τάσδε διαπερῶν ῥοὰς, ἔλουσα νεκρὸν, καὶ ἀπένιψα τραύματα.*

1039. *Τίς ἡ γυνὴ δῆτά ἐστιν ἣν ἥκεις ἄγων;*

*a.*

1040. Καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους, ᾤχοντο ἀπελαύνοντες εἰς τὸ ἑαυτῶν στρατόπεδον.

*b.*

1041. Τοὺς λοχαγοὺς πέμπει διαβιβάσοντας τοὺς ὁπλίτας.

1042. Ἐπεὶ δὲ Κότυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασόμενος.

1043. Θάμβει δ᾽ ἐκπλαγέντες, ἵεμεν ποίμνας ἐς ἄκρας, μή τις Ἀργείων μόλῃ λεηλατήσων, καὶ σὰ πορθήσων σταθμά.

*c.*

1044. Ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκε.

1045. Τίς ἐστὶ τοιοῦτος ἰατρὸς ὅς τις τῷ νοσοῦντι μεταξὺ ἀσθενοῦντι μηδὲν συμβουλεύει;

## SECTION XLV.

1046. Ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος.

1047. Ποσειδῶνος ἐπιφανέντος, ὁ Σάτυρος ἔφυγε.

1048. Κίμωνος δὲ ἀποθανόντος καὶ λιμοῦ γενομένου, ἀπεχώρησαν ἀπὸ Κιτίου.

1049. Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου.

1050. Τὸ πεδίον πέλαγος γίγνεται, ἐνδιδόντος μὲν τοῦ ποταμοῦ, ἔχοντος δὲ οὐδαμῇ ἐξήλυσιν.

1051. Ὁ νεὼς τῆς Ἥρας ἐν Ἄργει κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα, καὶ ἐπικαταδαρθούσης.

1052. Ἤδη δὲ ἦρος ἀρχομένου, καὶ τῆς μὲν χιόνος λυομένης, τῆς δὲ γῆς γυμνουμένης, καὶ τῆς πόας ὑπανθούσης, οἱ νομεῖς ἦγον τὰς ἀγέλας εἰς νομήν.

*a.*

1053. Ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο· κελεύοντος δὲ, ἐξέπεμψαν τοὺς οἰκήτορας.

1054. Ὁ Σωκράτης ἐκέλευσε τὴν πρώτην ὑπόθεσιν τοῦ πρώτου λόγου ἀναγνῶναι, καὶ ἀναγνωσθείσης, Πῶς, ἔφη, τοῦτο λέγεις;

*b.*

1055. Καίπερ ἐπικινδύνου παρ᾽ ἡμῖν ὄντος εἰς Μακεδονίαν πέμπειν ἐπιστολὴν, ὅμως γράψαι πρὸς σὲ εἱλόμην περὶ Διοδότου.

1056. Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐκβοηθεῖ πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτόν.

*c.*

1057. Ἐλέγετο ἡ ξυμφορὰ, καὶ ἡ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν ἐς ἄστυ διῇκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων.

1058. Εἰργομένοις αὐτοῖς τῆς θαλάσσης, καὶ κατὰ γῆν πορθουμένοις, ἐνεχείρισάν τινες πρὸς Ἀθηναίους ἀγαγεῖν τὴν πόλιν.

*d.*

1059. Ἐξὸν δὲ ῥᾳθυμεῖν, βούλεται πονεῖν.

1060. Ἔφαντο αὐτὸν δωροδοκήσαντα, οὐχ ἑλεῖν τὸ Ἄργος, παρὸν εὐπετῶς αὐτὸ ἑλεῖν.

1061. *Πράττει κακὰ, γιγνώσκων ὅτι κακά ἐστιν, οὐ δέον αὐτὰ πράττειν.*

1062. *Δόξαν δὲ ἡμῖν ἔτι πο῾ῤῥωτέρω προελθεῖν, ξυνελήφθημεν.*

*e.*

1063. *Ἤγγειλεν Εὐρυμέδοντι παρεῖναι, ὡς τοῦ χωρίου κινδυνεύοντος.*

1064. *Ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίας τὴν ἀκρόπολιν.*

1065. *Ἅτε θεωμένων τῶν ἑταίρων, πολλὴ φιλονεικία ἐγίγνετο.*

1066. *Οὐκ ἀπελογεῖτο, ἦν γὰρ ἀδύνατος, ὥστε σηπομένου τοῦ μηροῦ.*

1067. *Αἱ αἶγες, ὥσπερ λύκου προσιόντος, εἰς τὴν ὕλην κατέφυγον.*

1068. *Οἴονται εὐδοκιμήσειν ἢν περὶ αὐτοῦ βλασφημήσωσιν, ὥσπερ οὐ πάντας εἰδότας.*

1069. *Τοὺς υἱεῖς εἴργουσιν ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν.*

1070. *Κατακείμεθα, ὥσπερ ἐξὸν ἡσυχίαν ἔχειν.*

1071. *Τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον ἡμᾶς ἤδη ταῦτα πράττειν.*

## SECTION XLVI.

1072. *Ἐπέμφθη θῦσαι τῷ Διῒ κατὰ μαντείαν τινά.*

1073. *Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ.*

1074. *Παραδίδωμι ὑμῖν τὸν παῖδα τουτονὶ ἐπιμεληθῆναι.*

1075. *Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.*

1076. *Δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ, μακρότερον μὲν τῆς Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων, οὓς εἴωθε λέγειν.*

## a.

1077. *Χαλεπαὶ (εἰσὶν) αἱ ὑμέτεραι φύσεις ἄρξαι.*

1078. *Ἡ γεωργικὴ τέχνη ῥᾴστη ἐστὶ μαθεῖν.*

1079. *Οἱ πολέμιοι οὐκ ἦσαν ἱκανοὶ ἡμᾶς ἐξελαύνειν.*

1080. *Ἡγῆ ἐνδείξασθαι Ἀθηναίοις, ὅτι ἄξιος εἶ τιμᾶσθαι.*

1081. *Ἕτοιμοι ἦσαν ἐς τὰ ὅπλα ἰέναι, καὶ τῷ Θηραμένει καὶ τοῖς μετ᾽ αὐτοῦ ἠπείλουν.*

1082. *Συκοφαντοῦσιν, ἐὰν δυνατοὶ ὦσι λέγειν, καὶ ψευδομαρτυροῦσι, καὶ δωροδοκοῦσι.*

1083. *Ἔμοιγέ τοι δοκοῦσιν ἀδύνατοι εἶναι διδαχθῆναι ἄλλου τινὸς μᾶλλον ἐπιμελεῖσθαι, ἢ τούτου.*

1084. *Συνεβούλευον αὐτῷ, λέγοντες, ὡς οὐκ εἴη χῶρος ἐπιτηδειότερος ἐνστρατοπεδεύεσθαι ἐκείνου.*

## b.

1085. *Ἐθέλουσι τελεῖν ἀργύριον, ὡς μὴ ἱππεύειν.*

1086. *Ἀπεπέμπετο δὲ ἡ στρατιὰ, ὡς ἐμοὶ δοκεῖν, ἐπὶ Λιβύων καταστροφῇ.*

1087. *Εἰς τοσοῦτον προεχώρησεν ὕβρεως, ὡς τὸν πατέρα τῆς κόρης φυγεῖν εἰς τὸ στρατόπεδον.*

1088. *Ἐπιμέλονται ὅπως μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, ὥστε πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι.*

1089. *Κραυγὴν πολλὴν ἐποίουν καλοῦντες ἀλλήλους, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν.*

1090. *Σεισμοῦ δὲ γενομένου, πρίν τι ἐπικυρωθῆναι, ἡ ἐκκλησία ἀνεβλήθη.*

1091. *Πρὶν δὲ ἢ ἀποστεῖλαι τὴν στρατιὰν, ἔπεμψεν ἐς τὴν Βάρκην κήρυκα.*

1092. *Αὐτὰρ ὄπισθεν ἴχνια ἔτυπτε ποσὶ, πάρος κόνιν ἀμφιχυθῆναι.*

1093. *Ἐπῄνουν ἄχρι που καὶ ἐρυθριᾷν με, μὴ ἄρα πάμπολυ τῆς ἀξίας τῶν ἐπαίνων ἀπολειποίμην.*

1094. *Εἰ ὁ λαγὼς παραδράμοι τὰς ἄρκυς, χρὴ μεταθεῖν αὐτὸν, ἔστε ἁλῶναι ἀπαγορεύσαντα ὑπὸ καμάτου.*

*c.*

1095. *Τοιοῦτος ἦν, οἷος μὴ βούλεσθαι πολλοὺς ἀποκτιννύναι τῶν πολιτῶν.*

1096. *Εἴ τινι ἐντετύχηκας Στωϊκῷ τοιούτῳ, οἵῳ μήτε λυπεῖσθαι, μήτε ὑφ᾽ ἡδονῆς κατασπᾶσθαι.*

1097. *Τοσοῦτον ἀνεπαύετο, ὅσον καλλιερῆσαί τε καὶ τοὺς δήμους προσειπεῖν.*

1098. *Ἀπήγγελλον τῷ Κύρῳ, ὅτι τοσαῦτα εἴη ἔνδον ἀγαθὰ, ὅσα ἐπ᾽ ἀνθρώπων γενεὰν μὴ ἂν ἐπιλείπειν.*

1099. *Συνέθετο μεθέξειν τῆς κοινῆς συμμαχίας, ἐφ᾽ ᾧ λαμβάνειν εἴκοσι τάλαντα.*

1100. *Εἶπον ὅτι οὐκ ἂν ἀποδοῖεν τοὺς νεκροὺς, εἰ μὴ ἐφ᾽ ᾧ τε ἀπιέναι.*

1101. *Πολλοῖς ἐντυγχάνω, οἳ ἐμὲ οὐχ οἷοί τε εἰσὶ βασανίζειν.*

1102. *Οἱ κώνωπες ὑπὸ τῶν ἀνέμων οὐχ οἷοί τε εἰσὶν ὑψοῦ πέτεσθαι.*

1103. *Τὴν γλῶτταν ἐποίησαν οἵαν ἀρθροῦν τε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις, ἃ βουλόμεθα.*

## *d.*

1104. *Σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεσθαι.*

1105. *Μηδὲ σὺ δηθύνειν, μή τίς σε ἢ βάλῃ, ἢ ἐλάσῃ.*

1106. *Μὴ σύ γε ἄνευθεν ἐμοῦ λιλαίεσθαι πολεμίζειν Τρωσί.*

1107. *Ἐπὰν δὲ αὐτὸν περιλάβῃς, ποιεῖν, ὅπως μηκέτι ἐς Ἕλληνας ἀφίξεται.*

1108. *Ὦ ξένε, ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε κείμεθα τοῖς ἐκείνων ῥήμασι πειθόμενοι.*

## SECTION XLVII.

1109. *Τὸ κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.*

1110. *Τοῦ τιμᾶσθαι τὸ τιμᾶν πολλάκις ἐστὶν ἐνδοξότερον.*

1111. *Ἀντὶ τοῦ προσαγορεύειν ἀλλήλους, φιλοῦσι τοῖς στόμασι.*

1112. *Ὑπὸ προθυμίας τοῦ ἀκοῦσαι τῆς ὑμετέρας σοφίας, τολμήσω αὐτοσχεδιάσαι.*

1113. *Προεῖπον δὲ ταῦτα, τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς.*

1114. *Ἠναγκάσθην διώκειν, ἐπεὶ ἑώρων ἡμᾶς ἐν τῷ μένειν κακῶς πάσχοντας.*

1115. *Πότε δὲ οὗτοι πείσονται τοῖς ἄρχουσιν, οἳ καὶ ἀγάλλονται ἐπὶ τῷ καταφρονεῖν τῶν ἀρχόντων;*

1116. *Σὲ οὐ προδώσω, ἀλλ᾽ ἀμυνῶ οἷς δύναμαι· δύναμαι δὲ εὐνοίᾳ τε καὶ τῷ παρακελεύεσθαι.*

1117. *Ἅμα τῷ τὴν ἀρχὴν παραλαβεῖν, εὐθέως πολεμικῶν ἔργων ἤρξατο.*

1118. *Ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.*

1119. *Τὸν τοῦ πράττειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν.*

1120. *Μετὰ τὸ κατορθῶσαι πάντα, ἃ ἐβούλετο, ἀνεῖλεν αὐτούς.*

1121. *Ἀλλὰ σὺ τὸ ἀντιλέγειν μὴ κάλει λοιδορεῖσθαι· ἕτερον γάρ τί ἐστι τὸ λοιδορεῖσθαι.*

1122. *Τοῦ πλουτεῖν ἔλεγε τὸ πλουτίζειν εἶναι βασιλικώτερον.*

*a.*

1123. *Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς.*

1124. *Ἱππέας μέντοι ἐξέπεμπεν ἀεὶ, τοῦ μὴ προδρόμους τοὺς ἀγροὺς κακουργεῖν.*

*b.*

1125. *Οὕτως ἐργάζεται τὴν γῆν, ὥστε ζημιοῦσθαι ἐργαζόμενος.*

1126. *Πρὸς ἀνδρίαν οὕτως ἐπαιδεύθησαν, ὥστε μόνοι νικᾶν μαχόμενοι.*

1127. *Πρότερον μὲν ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νυνὶ δὲ ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον.*

## SECTION XLVIII.

1128. *Ξενίας καὶ Πασίων, ἐμβάντες εἰς πλοῖον, ἀπέπλευσαν.*

1129. *Ἐτεοκλῆς καὶ Πολύνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι, καὶ κτείνουσιν ἀλλήλους.*

1130. *Οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος καὶ Μιθριδάτης, οἳ ἦσαν Κύρῳ πιστότατοι.*

*a.*

1131. Ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

1132. Ἐγὼ καὶ ὑμεῖς δεησόμεθα αὐτοῦ μὴ διαφθείρειν τὴν συνουσίαν.

*b.*

1133. Πρόσεισι τῷ Διονυσοφάνει καὶ τῇ Κλεαρίστῃ, καθημένοις ἐν τῷ παραδείσῳ.

1134. Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν Φῆστον.

*c.*

1135. Ἐναντία εἶναι φύσιν καὶ νόμον φασί.

1136. Πολλὴν πίτταν καὶ στυππεῖον ἔχομεν, ἃ ταχὺ παρακαλεῖ πολλὴν φλόγα.

*d.*

1137. Βρονταὶ δὲ καὶ ἀστραπαὶ καὶ νὺξ μακρὰ κατελάμβανεν αὐτούς.

1138. Ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη, ὁ Δαρεῖος ἤσχαλλε.

1139. Λέγουσιν ὡς χρὴ δίκαιον εἶναι, ἵνα δοκοῦντι δικαίῳ εἶναι γίγνηται ἀπὸ τῆς δόξης, ἀρχαί τε καὶ γάμοι, καὶ ὅσα περ Γλαύκων διῆλθεν ἄρτι.

## SECTION XLIX.

1140. Μισθοῦ στρατεύονται ὁπόταν τις αὐτῶν δέηται.

1141. Πρίασθαι ἔφασαν τὴν χώραν ἅπασαν τριάκοντα ταλάντων.

1142. Ταύτης τῆς μεγάλης εὐεργεσίας δύο δραχμὰς ἐπράξατο.

1143. *Λείαν πολλὴν ἔλαβον, ἣ ἐπράθη ταλάντων πέντε καὶ εἴκοσι.*

1144. *Ἴδον στυγερὰν Ἐριφύλην, ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο.*

1145. *Τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν οὐκ ἂν ἀλλάξαιμι.*

1146. *Φασὶ μηδὲ τοὺς στρατιώτας, οἳ τὴν ἀρχὴν αὐτῷ χρημάτων ἀπέδοντο, πιστοὺς εἶναι φρουρούς.*

## SECTION L.

1147. *Φησὶν Ἀριστείδην ἁλῶναι δωροδοκίας.*

1148. *Ἀμέλει γράψομαί σε παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος.*

1149. *Δικάζου κλοπῆς πρὸς διαιτητήν, καὶ οὐ κινδυνεύσεις.*

1150. *Οἱ δ' Ἔφοροι ἀνεκάλεσάν τε τὸν Σφοδρίαν, καὶ ὑπῆγον θανάτου.*

1151. *Εἴ τις ἀναγκασθεὶς ὑπ' ἄλλου φονεύσειέν τινα, τίνα αἰτιάσῃ τοῦ φόνου;*

## SECTION LI.

1152. *Πλεκέτω μυρσίνης στέφανον.*

1153. *Ἕλκονται, οὐ τῆς ῥινός, ἀλλὰ τοῦ πώγωνος.*

1154. *Ἐμοὶ τὸν δακτύλιον ἔδωκε σιδήρου πεποιημένον.*

1155. *Εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμόν, κόμης κατεῖχον.*

1156. *Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρός, ἤγειρεν αὐτόν.*

1157. *Ἤειρον τοὺς ἐπιλοίπους λίθους μηχαναῖς ξύλων βραχέων πεποιημέναις.*

1158. *Τὰ δὲ νήπια παιδία δέουσι τοῦ ποδὸς σπάρτῳ, μὴ κατακλυσθῇ δειμαίνοντες.*

1159. *Οὐ θεαῖς γε εἴκασα, τεχνιτῶν δ᾽ ἀγαθῶν δημιουργήμασι, λίθου, καὶ χαλκοῦ, ἢ ἐλέφαντος πεποιημένοις.*

## SECTION LII.

1160. *᾽Απῆλθεν ἐς Ἔφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν.*

1161. *Αἱ δὲ ὄχθαι αὗται τρία ἢ τέτταρα πλέθρα ἀπὸ τοῦ ποταμοῦ ἀπεῖχον.*

1162. *Καὶ προελθόντες σταδίους ὡς τεσσαράκοντα, ηὐλίσαντο πρὸς λόφῳ τινί.*

1163. *Αἱ πηγαὶ Εὐφράτου καὶ Τίγριδος διέχουσιν ἀλλήλων σταδίους δισχιλίους πεντακοσίους· συμβάλλουσι δὲ κατὰ Σελεύκειαν πόλιν.*

## SECTION LIII.

1164. *Πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνου.*

1165. *Τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τοδεύτερον ἐπέπεσε τοῖς ᾽Αθηναίοις.*

1166. *Τῆς αὐτῆς ἡμέρας οἱ ᾽Αθηναῖοι διαβάντες ἐς τὴν Εὔβοιαν, συμβάλλουσι καὶ τοῖς Χαλκιδεῦσι.*

1167. *Δέκα μὲν ἐτῶν οὐχ ἥξουσιν· ὅταν δὲ ἔλθωσιν, ἀπαλλαγήσονται, πράξαντες οὐδὲν ὧν ἤλπιζον.*

1168. *Καὶ μετὰ τὸν κατάπλουν τρίτῳ μηνὶ ἀνήχθη ἐπ᾽ Ἄνδρον.*

1169. *᾽Ανέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης.*

1170. *Παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ.*

1171. *Καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθεν ἐκ Θρᾴκης.*

1172. *Οἱ Ἕλληνες ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ.*

## SECTION LIV.

1173. *Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι;*

1174. *Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν.*

1175. *Καὶ λαβοῦσα τὸ ξίφος, ἑαυτὴν προανεῖλε τοῦ ἀνδρός.*

1176. *Συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.*

1177. *Ἐπεὶ πετραίαν τήνδε εἰσήλθομεν χθόνα, ἀνέκαυσε πῦρ.*

1178. *Φησὶ τὸν Χρύσην κατεύχεσθαι τῶν Ἀχαιῶν πρὸς τὸν θεόν.*

1179. *Μὴ τρέσῃς, ὅπως σέ τις σὺν παισὶ βωμοῦ τοῦδε ἀποσπάσῃ βίᾳ.*

1180. *Καταγελᾷ τοῦ Κροίσου, καὶ τῆς μεγαλαυχίας τοῦ βαρβάρου.*

1181. *Οἱ Μιλήσιοι παρ᾽ Ἀθηναίους ἐλθόντες, κατεβόων τῶν Σαμίων.*

1182. *Ὑπερμαχόμενοι τῶν δεσποτῶν, τοὺς ἀνθεστῶτας ῥᾳδίως ἐτρέψαντο.*

1183. *Ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν, πλὴν Σαμίων.*

1184. *Ἔκβητε ἀπήνης, Τρωάδες, χειρὸς δ᾽ ἐμῆς λάβεσθε, ἵνα ἔξω τοῦδε ὄχου στήσω πόδα.*

1185. *Σύμπεμψον τοίνυν μοι τῶν ἀξιοπίστων τούτων τινά, ὅς ἐρεῖ ἃ ἂν σὺ ἐπιστείλῃς.*

## SECTION LV.

1186. *Τοῖς ἄλλοις οὐχ ἁπτέον τοῦ τοιούτου.*

1187. *Πολὺ τούτων δεινοτέρας συμφορὰς ὑπομενετέον ἡμῖν.*

1188. *Ἔπειτα γεμὴν τῷ ἱπποκόμῳ ἐξακτέον τὸν ἵππον ὅπου ψήξει.*

1189. *Οὐδεμία σοι πρόφασίς ἐστιν, ὡς οὐ παρεκτέον σοι ἡμῖν γέλωτα.*

1190. *Οὐ τῶν ἄλλων αὐτοῖς ἀρκτέον, ἀλλ' Ὀρχομενίοις φόρον οἰστέον.*

1191. *Οὐ ταῦτα λέγουσιν οἱ νόμοι, οὐδὲ τὰ τῆς πολιτείας ἔθη, ἃ φυλακτέον ὑμῖν.*

1192. *Ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων, ὅπως θεραπεύηται.*

### *a.*

1193. *Τὸν νομοθέτην πειρατέον ταῖς πόλεσι φρόνησιν ἐμποιεῖν.*

1194. *Τολμητέον τὸ ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα.*

## SECTION LVI.

1195. *Δεδράμηκα δρόμον οἷον οὐδεὶς πώποτε.*

1196. *Διὰ τὴν ἐξουσίαν, μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι.*

1197. *Πολλοὺς ὑμεῖς πεπολεμήκατε πολέμους, καὶ πρὸς δημοκρατίας, καὶ πρὸς ὀλιγαρχίας.*

1198. *Μή με περιΐδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα ὑπὲρ ἧς ἐγὼ πολλοὺς κινδύνους κεκινδύνευκα.*

1199. Ἐπὶ τῷ Μαρσύᾳ ποταμῷ συνέβαλόν τε τοῖς Πέρσαις, καὶ μάχην ἐμαχέσαντο ἰσχυράν.

1200. Εὗδει δ' ὕπνον οὐκ εὐδαίμονα, παῖδας φονεύσας, καὶ δάμαρτα.

1201. Λαγὼ βίον ἔζης, δεδιὼς καὶ τρέμων, καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν.

1202. Νῦν ὀλίγον πονήσαντες χρόνον, ἀμαχεὶ τὴν λοιπὴν (ὁδὸν) πορευσόμεθα.

1203. Ὅρκον ὤμοσαν ἰσχυρὸν, μήτε αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσασθαι, μήτε ἄλλῳ ἐπιτρέψειν.

1204. Νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν· καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν.

1205. Δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν.

1206. Κατελάμβανον καὶ ἐκείνους σκηνοῦντας, ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνους.

1207. Ὁ δοῦλος πληγὰς ἑκατὸν τῇ μάστιγι τυπτέσθω.

1208. Οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει ὅταν πεινῇ ἢ ῥιγοῖ, ἤ τινα ἄλλην λύπην λυπῆται.

1209. Μετὰ τὴν μάχην ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαιμονίους.

*a.*

1210. Οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ἔργα;

1211. Ἦν πολλὰ γιγνόμενα, ἅ τις ἂν δυσχεράνειεν.

1212. Τὸ τοιοῦτον σῶμα ἐν πολέμῳ οἱ ἐχθροὶ θαῤῥοῦσι.

1213. Ἠγανάκτουν καὶ ἤλγουν τὸν βασιλέα καθῃρημένον.

1214. Χαίρω δέ σε εὐτυχοῦντα, καὶ προσήμενον πύργοις ἐχθρῶν.

### b.

1215. *Μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν.*

1216. *Ὀμνύω σοι τὸν κύνα, καὶ τὴν πλάτανον, οὕτω ταῦτ' ἔχειν.*

1217. *Εἰ δὲ ταῦτα οὐ ποιήσεις, Ἥλιον ἐπόμνυμί σοι, ἦ μήν σε αἵματος κορέσω.*

## SECTION LVII.

1218. *Οὐχ ὁμοίως τοῖς λῃσταῖς ἐβίωσαν.*

1219. *Ἐπάλαισαν κάλλιστα Ἀθηναίων.*

1220. *Ὑδροποσίαν ῥᾷον τῶν λεόντων φέρετε.*

1221. *Οἶσθα ὅσῳ ἀηδέστερον ζῇ τύραννος βασιλέως;*

1222. *Ψηφίζεσθε οὖν ἀξίως τῆς Σπάρτης τὸν πόλεμον.*

1223. *Οἱ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων.*

1224. *Εὐδοκιμεῖ μάλιστα τῶν Πρωταγόρου μαθητῶν.*

1225. *Ὀρθῶς εἴρηκας, καὶ σαυτῷ τε καὶ τῇ πατρίδι πρεπόντως.*

1226. *Εὑρήσετε αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα.*

1227. *Ἐμοὶ εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἐπείπερ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων.*

## SECTION LVIII.

1228. *Σώφρονος ἀπιστίας οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.*

1229. *Ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος.*

1230. *Μηδὲ γνώμην εἰπάτω μηδέποτε, μήτε ἐν τῷ δήμῳ, μήτε ἐν τῇ βουλῇ.*

1231. *Μήτε ἀσεβὲς μηδὲν, μηδὲ ἀνόσιον, μήτε ποιήσητε, μήτε βουλεύσητε.*

1232. *Οὐκέτι ἔξεστί μοι οὔτε προσβλέψαι, οὔτε διαλεχθήναι καλῷ οὐδενί.*

1233. *Καὶ οὔτε ἐπέθετο οὐδεὶς οὐδαμόθεν, οὔτε πρὸς τὴν γέφυραν οὐδεὶς ἦλθε τῶν πολεμίων.*

1234. *Οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν.*

1235. *Οἱ Φωκεῖς ἐπρέσβευον εἰς τὴν Λακεδαίμονα, καὶ ἔλεγον, ὡς εἰ μὴ βοηθήσαιεν, οὐ δυνήσοιντο μὴ πείθεσθαι τοῖς Θηβαίοις.*

## SECTION LIX.

1236. *Δώσω οἱ θώρακα τὸν Ἀστεροπαῖον ἀπηύρων.*

1237. *Πῖνε οἶνον, τὸν ἄμπελοι ἤνεγκον, τὰς ἐφύτευσεν ὁ γέρων.*

1238. *Ἔπαιζεν ἐν τῇ κώμῃ ταύτῃ, ἐν τῇ ἦσαν καὶ αἱ βουκολίαι αὗται.*

1239. *Ἐπίστασο δέ, εἰ τούτους καταστρέψῃ, ἔστιν οὐδὲν ἄλλο ἔθνος τό σε ὑπομενεῖ.*

1240. *Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ ἐλάμπετο χαλκῷ.*

1241. *Μετὰ τοῖς ἐλέχθην ἤματι τῷ, ὅτε ἦλθον Ἀμαζόνες· ἀλλ' οὐδ' οἱ τόσοι ἦσαν, ὅσοι ἑλίκωπες Ἀχαιοί.*

### *a.*

1242. *Τὸ δ' οἶμαι οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σὺ ἃ λέγω.*

1243. *Τοῖς δὲ ὑποψία ἦν, ὅτι ἄγει πρὸς βασιλέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι.*

1244. *Οἱ δ᾽ ἀφικνοῦνται, καὶ περιτειχίζουσι Μιτυλήνην ἐν κύκλῳ ἁπλῷ τείχει.*

1245. *Καὶ ὅς, ἀκούσας ταῦτα, ὠθεῖτο αὐτὸν ἐκ τῆς τάξεως.*

1246. *Τοὺς δὲ ψιλοὺς ἔτρεπον, καὶ οἳ ὑποστρέφοντες ἠμύνοντο.*

1247. *Καὶ ὃς τὸ μὲν πρῶτον ὤκνει τε, καὶ οὐ πάνυ ἤθελεν ἀποκρίνασθαι.*

## *b.*

1248. *Ὅταν τις τελευτήσῃ τῶν ὅσοι ἂν διαφερόντως ἐν τῷ βίῳ ἀγαθοὶ κριθῶσι.*

1249. *Ἔπειθεν αὐτοὺς, καὶ ἔδωκε τῷ μὲν ἵππον, τῷ δὲ γυναῖκα.*

1250. *Δι᾽ ἔνδειαν οἱ μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται.*

1251. *Καὶ μάχῃ κρατήσαντες, τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων, τοὺς δὲ, ζῶντας ἔλαβον.*

1252. *Οἱ μὲν, ἐν ἡδοναῖς, οἱ δὲ, ἐν λύπαις, οἱ δὲ, ἐν ἐπιθυμίαις, οἱ δὲ, ἐν φόβοις, τὴν ἀνδρίαν κέκτηνται.*

1253. *Οὐκ ὀκνοῦσιν ἀποφαίνεσθαι περὶ τῆς γῆς, ὁποία τε ἀγαθή ἐστι, καὶ ὁποία κακή· ἀλλὰ τὴν μὲν ψέγουσι, τὴν δ᾽ ἐπαινοῦσι.*

1254. *Ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν.*

1255. *Τοὺς δὲ τῶν ἀνδρῶν ἀπέλιπον γεωργεῖν, οὓς δὲ ἀπέδοντο, οὓς δὲ ἀπέκτειναν.*

## SECTION LX.

1256. *Εἵλετο δ' ἄλκιμα δοῦρε δύω, κεκορυθμένα χαλκῷ.*

1257. *Τοσαύτης ἦν ταραχῆς πλέως, ὥστ' ἔχειν ἐν αὑτῷ νοσήματα δύο ἐναντίω ἀλλήλοιν.*

1258. *Οὐ δεινότατα δεδράκατον, ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;*

1259. *Κάνεον δ' ἔχοντε καὶ χύτραν καὶ μυῤῥίνας, πλανώμεθα, ζητοῦντε τόπον ἀπράγμονα, ὅποι καθιδρυθέντε διαγενοίμεθ' ἄν.*

### *a.*

1260. *Ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, οὐκ ἀγνοοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν.*

1261. *Ὁ ὄχλος ἠθροίσθη πρὸς τὰς ναῦς, θαυμάζοντες, καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην.*

1262. *Τὸ δὲ στράτευμα ἐπορίζετο σῖτον, ὅπως ἐδύνατο, ἐκ τῶν ὑποζυγίων, κόπτοντες τοὺς βοῦς καὶ ὄνους.*

## SECTION LXI.

1263. *Καὶ δ' ἄλλω δύο παῖδε Ποσειδάωνος ἵκοντο.*

1264. *Ὁ δὲ χερμάδιον ἔλαβε χειρί, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν.*

1265. *Χείμαῤῥοι ποταμοὶ ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ.*

1266. *Παλαισμοσύνης ἴδμονες ἄνδρες ἐπ' ἀλλήλοις ἐὴν ἀναφαίνετον ἀλκήν.*

*a.*

1267. *Ὁ δὲ ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ.*

1268. *Ἑσμὸς μελισσῶν ἐσδὺς ἐς τὴν κεφαλήν, κηρίων αὐτὴν ἐνέπλησαν.*

1269. *Τῶν δὲ Συρακουσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν.*

1270. *Τὸ δὲ πλῆθος τῶν στρατιωτῶν ὥρμησαν ἐγκραγόντες ἐπὶ τὸν Ἀστύοχον, ὥστε βάλλειν· ὁ δὲ, προϊδὼν, καταφεύγει ἐπὶ βωμόν τινα.*

Deacidified using the Bookkeeper proce
Neutralizing agent: Magnesium Oxide
Treatment Date: July 2006

PreservationTechnologie
A WORLD LEADER IN PAPER PRESERVATIO
111 Thomson Park Drive
Cranberry Township, PA 16066
(724) 779-2111

LIBRARY OF CONGRESS
0 003 038 331 A